✝ Ἡ μετριότης ἡμῶν ἀπὸ τῆς χάριτος καὶ δωρεᾶς καὶ ἐξουσίας τοῦ παναγίου καὶ ζωαρχικοῦ πν(εύματ)ος, τῆς δοθείσης παρὰ τοῦ σ(ωτῆ)ρ(ο)ς ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ, τοῖς θείοις αὐτοῦ μαθηταῖς καὶ ἱεροῖς ἀποστόλοις, εἰς τὸ δεσμεῖν τε καὶ λύειν τὰς τῶν ἀν(θρώπ)ων ἁμαρτίας εἰρηκότος αὐτοῖς, Λάβετε πν(εῦμ)α ἅγιον ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε κεκράτηνται, καὶ Ὅσα ἂν δήσητε καὶ λύσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα καὶ λελυμένα ἐν τῷ οὐ(ρα)νῷ, ἐξ ἐκείνων δὲ καὶ εἰς ἡμᾶς ἀλληλοδιαδόχως διεβιβάσθη ἔχει συγκεχωρημένην καὶ τὴν κατὰ πν(εῦμ)α θυγατέρα αὐτῆς Ἀθανασίαν μοναχὴν, εἰς ὅσα καὶ αὐτὴ ὡς ἄν(θρωπ)ος ἥμαρτε, καὶ εἰς θ(εὸ)ν ἐπλημμέλησε, λόγῳ, ἔργῳ, διανοίᾳ, καὶ ἐν πάσαις αὐτῆς ταῖς αἰσθήσεσι, καὶ εἰ ὑπὸ κατάραν ἀρχιερέως, ἢ ἱερέως ἐγένετο, ἢ π(ατ)ρ(ὸ)ς, ἢ μ(ητ)ρ(ὸ)ς αὐτῆς, ἢ τῷ ἰδίῳ ἀναθέματι περιέπεσεν, ἢ ὅρκον ὤμοσε καὶ τοῦτον παρέβη, ἢ ἀφορισμῷ ὁθενδήποτε ἐδεσμεύθ(η), ἢ καὶ ἄλλοις τισὶν ἁμαρτήμασιν ὡς ἄν(θρωπ)ος οὖσα καὶ αὐτὴ καὶ τὸν κόσμον τοῦτον οἰκοῦσα, κατὰ διαφόρους καιροὺς περιεπάρη, καὶ ταῦτα πν(ευματ)ικοῖς π(ατ)ράσι ἐξωμολογήσατο, καὶ τὸν παρ' αὐτοῖς κανόνα ἐκ καρδίας ἐδέξατο, καὶ πληρῶσαι προεθυμήθ(η). ἐκ τούτων οὖν πάντων λύομεν αὐτὴν καὶ ἐλευθέραν ἔχομεν καὶ συγκεχωρημένην τῇ παντοδυνάμῳ ἐξουσίᾳ καὶ χάριτι τοῦ θείου καὶ προσκυνητοῦ πν(εύματ)ος. ὅσα δὲ διὰ λήθ(ην) ἀνεξωμολόγητα εἴασε, κἀκεῖνα πάντα συγχωρήσαι αὐτῇ ὁ ἐλεήμων θ(εό)ς. ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν: —

(Διὰ τῆς πατριαρχικῆς χειρὸς τό)

Ἐν μηνὶ Ἰουλλ(ίῳ), ἰν(δικτιῶν)ος $\overline{ια}^{ης}$ ✝

15.

1635, *Μηνὶ Σεπτεμβρίῳ* 23.

(Αὐτόγραφος ἐπιστολὴ Ἀθανασίου Πατελλαρίου, ἐκπτώτου καὶ ἐξορίστου πατριάρχου Κωνσταντινουπόλεως, τῷ πάπᾳ Ῥώμης Οὐρβανῷ τῷ ὀγδόῳ. Χάρτης δίφυλλος, ἐφ' οὗ εὑρίσκεται κεκολλημένον τεμάχιον χαρτίου μετὰ σημειώματος ἰταλικοῦ τοῦ παπικοῦ γραμματέως, ἀπευθυνομένου πρὸς τὸν πάπαν καὶ περίληψιν αὐτῷ διδόντος τῶν ἐν τῷ γράμματι τοῦ Ἀθανασίου λεγομένων. Ὅρα πίνακα φωτοτυπικὸν Ε').

✝ ***Τῷ μακαριωτάτῳ, καὶ ἁγιωτάτῳ ἄκρῳ ἀρχιερεῖ.***

✝ Οὐκ ἔστι μοι διὰ τοῦ παρόντος διαῤῥήδην τὰ πάντα διευκρυνῆσαι τῇ ἄκρᾳ σου ἀρχιερωσύνῃ δι' ὧν μέχρι τοῦδε πλεύσας ἀφικόμην, τῇ μὲν διὰ τὸ ἔτι μου τὴν κεφαλὴν ἐκ τῆς τοῦ πλοίου δονεῖσθαι ταραχῆς, τῇ δὲ καὶ ὅτι ἐν τῷ ἐμὲ σχεδὸν τὸν πόδα τῇ ἠπείρῳ στηρίζειν ἐν χρῷ ἦν ὁ κομιστὴς ἀπάρας. τῇ δ' (ὃ καὶ εὐλογώτερον) ὅτι διὰ γράμματος οὐ χρῆ ὃ τῇ ζώσῃ φωνῇ δέδοται ἐκκαλύπτεσθαι. ὅθεν δὴ τὰ περὶ τῆς ἐμῆς ἀφίξεως μόνον δῆλα καθίσταμαι, μετὰ δ' οὐ πολλὰς τῶν ἡμερῶν πέμψω τὸν ἐμὸν πρωτοσύγγελον, καὶ ἀνεψιὸν, ὃς ἐκτυπωτέρως διασαφηνίσει τὰ καθήκοντα. ἐγὼ δὲ προσδοκῶν ἔσομαι τὸ δόξαν τῇ μακαριότητί σου. καὶ εἰ θελητὸν ἔσται αὐτόθι με παραγενέσθαι τὰ ἐλλείποντα ἀναπλειρώσω. καὶ τὰ χρειώδη πάντα τῆς Ἀνατολικῆς Ἐκκλησίας ἀναγράψω. ἢ καὶ χεῖρα οἷός τ' εἶ βοηθείας ὀρέξαι τῇ μεγίστῃ ἰσχύϊ σου, ἣν ὁ κ(ύριο)ς διὰ τοῦ μακαρίου ἐδωρήσατό σοι Πέτρου. ἐῤῥωμένην διαφυλάξαι σου κ(ύριο)ς τὴν μακαριότητα, θεία καὶ ἱερὰ κεφαλή, κατὰ τὸν διπλοῦν ἄν(θρωπ)ον.

Ἐξ Ἀγκῶνος. $\overline{κγ}$: ***Σεπτεβρίου : κατὰ τὸ*** $\overline{αχλε}$ ***ἔτος τὸ σ(ωτή)ριον.***

Δοῦλος τῆς σῆς μακαριότητος:

✝ ***ὁ Κωνσταντινουπόλεως π(ατ)ριάρχης Ἀθανάσιος : —***

16.

1731, *Μηνὶ Μαΐῳ ἰνδ.* 9.

Νόθος πατριαρχικὴ ἀπανταχοῦσα τοῦ ἔτους 1731, ἧς αἱ ὑπογραφαὶ καὶ διὰ τὸ ἀνεπιτήδευτον καὶ διὰ τὸ διάφορον τῆς χαράξεως δύνανται νὰ νομίζωνται γνήσιαι. Τὸ ἔγγραφον ὅμως ὅλον αὐτὸ καθ' ἑαυτὸ φαίνεται ὂν κατασκεύασμα, καὶ τοῦτο πρὸς ἀργυρολογίαν, τοῦ διαβοήτου τυχοδιώκτου Σεραφὶμ

Μυτιληναίου, ἀνδρὸς ταραξίου, ἐπικινδύνου ἐν Κωνσταντινουπόλει καὶ μετὰ πλάνητα βίον οἰκτρῶς ἀποθανόντος ἐν Σιβηρίᾳ, ὅστις ἐν Αὐστρίᾳ, Σουηδίᾳ καὶ Ῥωσίᾳ πλανώμενος καὶ διαφόρους ἐνεργῶν ἀπάτας ἐφήμιζεν ἑαυτὸν ἀπόγονον τοῦ αὐτοκράτορος Πωγωνάτου. — Μεμβράνα ἐπιμήκης, μήκ. 0.863, πλ. 0.605, ἔχουσα πρὸς τὰ κάτω τέσσαρας ὀπάς, ἐξ ὧν ἀπῃώρητο διὰ μετάξης ἡ τοῦ πατριάρχου μολυβδίνη σφραγίς. Ὁ τίτλος τοῦ πατριάρχου διὰ μεγάλων ἐπιχρύσων κεφαλαιωδῶν γραμμάτων (μήκους 0.024) ἐν τρισὶ γραμμαῖς, ὧν ἐν τῷ μέσῳ κύκλος ἀποτελῶν στέφανον ἐκ δάφνης· ἐν δὲ τούτῳ πρὸς ἀριστερὰν μὲν εἰκονίζεται φρούριον, ἐν μέσῳ δὲ τοῦ στεφάνου ὁ ἅγιος Γεώργιος ἔφιππος, φέρων μὲν ἐπὶ κεφαλῆς κορώναν ἀρχιερατικήν, διὰ λόγχης δὲ φονεύων δράκοντα ὑπὸ τοῦ ἵππου καταπατούμενον. Καὶ ὁ τίτλος καὶ ὁ στέφανος ἐπὶ ἐδάφους χρυσοπρασίνου σχηματίζοντος πλατυτάτην φυλλωματώδη ταινίαν, καὶ ταύτην πολυχρωμάτιστον. Τὸ πρώτιστον τοῦ κειμένου γράμμα, τὸ Τ, πολὺ μέγα (μήκους 0.16.) καὶ ἐντὸς πλαισίου. Τοῦτο δὲ τὸ Τ εἶναι ἐσχεδιασμένον ἐπὶ τῆς ῥάχεως δικεφάλου μέλανος καὶ ἐπιχρύσου ἀετοῦ ἔχοντος τὰς πτέρυγας ἀνοικτὰς καὶ τὰς κεφαλὰς ἐστραμμένας καὶ ἐστηριγμένας ἐπὶ τῆς ἄνω εὐθείας τοῦ Τ γραμμῆς· ὑπὸ τὰς κεφαλὰς ἀνὰ εἷς ῥόδαξ· τοὺς πόδας ὁ ἀετὸς στηρίζει ἐπὶ δύο πτερωτῶν δρακόντων, ὧν τὸ μὲν σῶμα πράσινον, τὰ δὲ πτερὰ κόκκινα. Ἐν τέλει τοῦ κειμένου, πρὸ τῆς λέξεως Ἐδώθη, ὑπάρχει τύπος σφραγῖδος, σχήματος ὀκταγώνου, μήκ. 0.06, πλ. 0.048. Ἡ σφραγὶς ἐπίχρυσος, ἔχουσα πέριξ τὴν ἐπιγραφήν· ΤΟ Δ[Α]ΚΤΥΛΙ[ΔΙ]ΟΝ [Τ]ΟΥ ΑΛΙΕΩΣ. Ἐν τῇ σφραγῖδι ὑπάρχει ἔμβλημα παριστῶν κορώναν πατριαρχικὴν ἄνωθεν δύο διεσταυρωμένων κλειδῶν· μετὰ δὲ τὰς κλεῖς σταυρὸς δικέρατος ἐπὶ θώρακος (blason) περικλείοντος δικέφαλον ἀετὸν μετὰ τῆς ἐπιγραφῆς ΟΙΚΟΡΥΦΑΙΟΙ ΤΩΝΑΠΟΣΤΟΛΩΝ. Κάτωθεν δὲ τοῦ ἀετοῦ καὶ τῆς ἐπιγραφῆς ταύτης εἰκονίζονται ὄρθιοι οἱ ἀπόστολοι Πέτρος καὶ Παῦλος συνυψοῦντες διὰ τῶν χειρῶν των τὸν ναὸν τῆς Ἁγίας Σοφίας μετ' αὐτῶν τῶν ἰσλαμικῶν αὐτῆς μιναρέδων.

ΠΑΪΣΙΟΣ ΤΡΙΤΟΣ ΕΛΕΩ ΘΕΟΥΑΡΧΙΕΠΙΣΚΟΠΟΣ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟ ΛΕΩΣΝΕΑΣΡΩΜΗΣΚ(αὶ)
ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ

Τοῖς ἐν πάσῃ τῇ οἰκουμένῃ, καὶ ἁπανταχοῦ κοινῶς, τὸν κ(ύριο)ν ἡμῶν Ι(ησοῦ)ν Χ(ριστὸ)ν λατρεύουσϊ, καὶ ἀληθινὸν Θεὸν ὁμολογοῦσϊ, γαληνωτάτοις, καὶ κραταιωτάτοις βασιλεῦσιν, ὑψηλωτάτοις, καὶ ὑπερτάτοις τῆς Ἱερᾶς Ῥωμαϊκῆς Βασιλείας λετόροι(ς), περιφανεστάτοις δουξί, δεσπόταις, ἡγεμόσι, καὶ δυνάσταις, θεοσεβεστάτοις, καὶ παναιδεσιμωτάτοις ἀρχιεπισκόποις, καὶ ἐπισκόποις ἐν Χ(ριστ)ῷ ἀγαπητοῖς ἀδελφοῖς σὺν πάσῃ τῇ ἱερᾷ καὶ σεβασμίᾳ ἐκκλησιαστικῇ τάξει, τοῖς πανευγενεστάτοις ἄρχουσϊν, ἐξουσιασταῖς, μεγιστᾶσιν, ἐπάρχοις, καὶ ὑπάτοις, τοῖς σοφολογιωτάτοις ἱεροδιδασκάλοις, καὶ καθηγηταῖς, τῶν τε μεγίστων, καὶ περιφήμων ἀκαδημιῶν ἀρίστοις προεστῶσι, καὶ ἁπλῶς παντὶ τῷ χριστωνύμῳ πληρώματϊ τέκνοις ἐν Κυρίῳ ἀγαπητοῖς, καὶ περιποθήτοις τῆς ἡμῶν μετριότητος χάρις καὶ ἔλεος παρὰ Θ(εο)ῦ παντοκράτορος καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, παρ' ἡμῶν δὲ τὴν ἀποστολικὴν εὐλογίαν: ∼ Πᾶσα μὲν ἁπαξαπλῶς ἀγαθοεργία, καὶ φιλοτιμία πρὸς τοὺς χρείαν καὶ ἀνάγκην ἔχοντας γινομένη, εὐάρεστος λογίζεται παρὰ τῷ Θεῷ, καὶ εὐπρόσδεκτος, μᾶλλον δὲ τὸ ἐλεεῖν πτωχοῖς ἀσθενέσι, καὶ χεῖρα βοηθείας τοῖς αἰχμαλώτοις, καὶ πεπτωκόσιν ὀρέγειν, φησὶ γὰρ ὁ Σωτὴρ ἡμῶν Γίνεσθε ἐλεήμονες, καὶ οἰκτείρμονες, ὅτι καὶ ὁ π(ατ)ὴρ ἡμῶν ὁ οὐράνιος ἐλεήμων ἐστί, καὶ ἐν ἑτέρῳ· Ἐλεημοσύναι καὶ εὐποιΐαι ῥύουσι ψυχὴν ἐκ θανάτου: — Δηλοποιοῦμεν τοίνυν πᾶσιν ὑμῖν, ὅτι κατὰ τὴν φθάσασαν πρὸ χρόνων ἅλωσιν τῆς Πελοποννήσου πάμπολλοι τῶν χριστιανῶν αἰχμαλωτισθέντες, κρίμασιν οἷς οἶδεν ὁ Κύριος, παρὰ τῆς φθοροποιοῦ τῶν Ἀγαρηνῶν ὁρμῆς καὶ δυναστείας, οἱ μὲν τινὲς ἐξ αὐτῶν, διὰ πάσης συνδρομῆς καὶ βοηθείας τῆς καθ' ἡμᾶς ἁγιωτάτης Ἀποστολικῆς Καθέδρας ἐλυτρώθησαν, οἱ δὲ διὰ τῆς ἐλεημοσύνης, καὶ ἐγγυήσεως τῶν ἡμετέρων ἐκκλησιαστικῶν τε, καὶ λαϊκῶν πᾶσαν φροντίδα, καὶ ἐπιμέλειαν θέμενοι, ὅσον ἦν αὐτοῖς, καὶ ἡμῖν ἐφικτὸν, γενομένης ὀφειλῆς, καὶ ὑποσχέσεως πλείστης, οἱ δὲ εἰσέτι καὶ νῦν ἐμμένουσι ὑπὸ τῆς ἀδυναμίας ἡμῶν, πικρᾷ δουλείᾳ, καὶ κακώσει ἀνεκδιηγήτῳ, ὡς διάδηλον τοῖς πᾶσι, πάσχοντες πάνδεινα, καὶ πνέοντες τὰ ἔσχατα ἐν στεναγμοῖς καὶ κλαυθμοῖς ἀλαλήτοις ὑπὸ τὸν τυραννικὸν ζυγὸν τῶν ἀσεβῶν Ὀθομανῶν, σκληρῶν τε βαρβάρων Ἀράβων, τῶν τε θηριογνώμων Σκυθῶν ἤτοι Ταττάρων, ἄνδρες τε καὶ γυναῖκες σὺν τοῖς τέκνοις αὐτῶν γεννηθεῖσι δυστυχῶς ὑπὸ τὴν αἰχμαλωσίαν, καὶ ταλαιπωρίαν τῶν γονέων αὐτῶν. Τούτου χάριν συνοδικῇ κοινῇ γνώμῃ προεπέμψαμεν ἱερομονάχους τινὰς ἡμετέρους, καὶ πρεσβυτέρους, ἐλέους καὶ βοηθείας ἕνεκα τούτων, τῆς τε ῥηθείσης ὀφειλῆς, εἰς ἣν καὶ ἐνέχονται οἱ ἐγγυηθέντες. Ἤδη δ' αὖθις ἀνάγκης κατεπειγούσης ὡς ἐνοχλουμένων σφόδρα παρὰ τῶν ἀσεβῶν, περιστάσεσί τε ἀλλεπαλλήλαις, καὶ ξυμφοραῖς τῶν δεινῶν κυκλουμένων, πικραῖς τε τιμωρίαις προσομιλούντων καὶ οὐ παυόντων δεινοπαθῶς ὁσημέραι μετὰ πολλῶν δακρύων δέεσθαι καὶ παρακαλεῖν ἡμᾶς συναλγῆσαι αὐτοῖς, καὶ φροντίσαι ὑπὲρ τῆς ἐλευθερίας αὐτῶν, προνοοῦντες ὡς χρεὼν ἡμῖν ὑπὲρ τῆς τούτων σ(ωτη)ρίας τῶν ἀθλίως κινδυνευόντων ψυχῇ καὶ σώματι αἰχμαλώτων, καίτοι στηρίζοντες αὐτοὺς ὡς εἰκός, καὶ τὰ ὑπερδύναμιν ὡς εἰπεῖν βοηθοῦντες αὐτοῖς μέντοι γε μὴ ἔχοντες ἄλλως πῶς ποιῆσαι ὡς τὸ ἡμέτερον Γένος ἐν ἀπορίᾳ καὶ ἀμηχανίᾳ πλείστῃ τυγχάνον, ὑπὸ τῆς καθεκάστην πιεζούσης πάντας τυραννίας, καὶ συνδουλείας, συνδιασκεψάμενοι ἀλλήλοις τὸ δέον, συνθλιβόμενοί τε τῇ δεινῇ κακουχίᾳ τοῦ πλησίον, ὡς ὑπόχρεοι πάντες οἱ κατὰ Χ(ριστὸ)ν ζῶντες ὑπὲρ τῆς ἀναῤῥύσεως τούτων, ἐκρίναμεν καὶ αὖθις εὔλογον καὶ ἀναγκαῖον ἐξαποστεῖλαι καὶ εἰς τὰ σπλάγχνα τῶν κραταιῶν ὑμῶν βασιλειῶν, καὶ ἐξουσιῶν, διὰ τῶν παρόντων ἡμετέρων παρακλητικῶν π(ατ)ριαρχικῶν καὶ συνοδικῶν γραμμάτων, τὸν παρόντα ἱερώτατον μ(ητ)ροπολίτην ἀρχιεπίσκοπον Παλαιῶν Πατρῶν ὑπέρτιμον καὶ ἔξαρχον πάσης Ἀχαΐας κὺρ Παΐσιον Ἐμμανουὴλ Πωγωνάτον, ἐν ἁγίῳ πν(εύματ)ι ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλειτουργόν, μετὰ τῆς ἱερᾶς συνοδίας αὐτοῦ, ἐκ τῆς Πελοποννήσου ὑπάρχοντα, καὶ περιπεσόντα κἀυτὸν τῇ κοινῇ δεινῇ αἰχμαλωσίᾳ, σὺν τοῖς οἰκείοις αὐτοῦ γονεῦσι, καὶ συγγενέσι, καὶ μετὰ ταῦτα μυρία δεινὰ παθόντα, καὶ ὑπομείναντα παρὰ τῶν ἀθέων Βαρβάρων ὑπὲρ τῆς εὐσεβείας. Ὅντινα καὶ πέμπομεν παρὰ τοῦ καθ' ἡμᾶς ἁγιωτάτου Ἀποστολικοῦ καὶ Οἰκουμενικοῦ Θρόνου κοινῇ γνώμῃ, καὶ ἀποφάσει, τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρ-

χιερέων μ(ητ)ρόπολιτῶν, καὶ ὑπερτίμων, τῆς ἱεραρχικῆς συγκλήτου βουλῆς ἡμῶν, ἐν ἁγίῳ πν(εύματ)ι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν, εἰς τὰ σπλάγχνα τῆς φιλευσεβείας ὑμῶν χάριν ἐλέους, καὶ βοηθείας ὑπὲρ τῆς ἐλευθερώσεως τούτων τῶν αἰχμαλώτων, προσέτι καὶ ἐξαρχικῶς ἐπὶ πάντας τοὺς ἡμετέρους ἱερομονάχους, καὶ πρεσβυτέρους ὅπῃ δ' ἂν τύχωσι, οἵσπερ καὶ ἐντελλόμεθα συνοδικῶς ὑπακούειν καὶ πειθαρχεῖν τῷ παρόντι ἡμετέρῳ ἐξάρχῳ ὡς πρόσωπον π(ατ)ριαρχικὸν ἡμέτερον ἐπιφέροντι καὶ πάσης τῆς ἱερᾶς ἡμῶν συνόδου, ᾧ τινι καὶ δεδώκαμεν πᾶσαν ἄδειαν, ἕνεκεν μὲν πάσης ἄλλης συμβάσης ἐκκλησιαστικῆς ὑποθέσεως, πρὸς τούτοις δὲ ἐπὶ τῷ παραλαβεῖν, καὶ συνάξαι παρ' αὐτῶν τὴν καλὴν ἐλεημοσύνην, καὶ βοήθειαν τῶν φιλοχρίστων. διάτοι τοῦτο, καὶ συνιστῶμεν τῇ ὑμετέρᾳ εὐσπλαγχνίᾳ τῶν εὐσεβῶς, καὶ κραταιῶς βασιλευόντων θεοφρουρήτων ἀνάκτων, τῇ τε μεγαλοπρεπείᾳ τῶν ὑπερτάτων, καὶ γαληνωτάτων λετόρων, περιφανεστάτων δουκῶν τε, πριγγίπων, δυναστῶν ἡγεμόνων μεγαλοψυχίᾳ, καὶ πάσης ἄλλης ὁποίας δηποτοῦν ἀρχικῆς ἐξουσίας, καὶ τάξεως γεναιότητι, παρακαλοῦντες πάντας ὑμᾶς μετὰ πάσης εὐχῆς καὶ εὐλογίας ἀποστολικῆς, ὅπως ἐρχομένῳ πρὸς τὴν ὑμετέραν φιλόθεον ἀγάπην τῷ ῥηθέντι ἡμετέρῳ μ(ητ)ρόπολίτῃ, ἐπιδείξητε πᾶσαν εὐσπλαγχνίαν, καὶ βοήθειαν, ἔργοις καὶ λόγοις, ἱλαρῷ τε, καὶ εὐσπλάγχνῳ τῷ ὄμματι αὐτὸν ἀποδεχθείητε, καὶ πᾶσαν ἄλλην φιλοτιμίαν αὐτῷ, καὶ συστατικὴν χάριν ποιήσητε συνιστῶντες αὐτὸν ἀπὸ τόπου εἰς τόπον, διὰ τῶν ὑμετέρων ἐνδόξων συστατικῶν γραμμάτων, ἵνα γένηται βοήθεια, καὶ εὐποιΐα πλουσιοπάροχος, καὶ ἀνάλογος πρὸς τὴν ἀνάγκην τῶν δεομένων παρὰ τῆς φιλευσεβείας ὑμῶν μεσιτευούσης τῆς ὑμετέρας παρακλήσεως πρὸς σ(ωτη)ρίαν, καὶ ἀπαλλαγὴν τῶν ἐν θλίψεσι καταπονουμένων, καὶ δεινῶς ἐν τῇ πικρᾷ δουλείᾳ τῶν ἀσεβῶν ὑπαρχόντων, καὶ τὰ ἔσχατα κινδυνευόντων: οὐχ ἥκιστα δὲ βεβαιούμεθα ὅτι ὡς θεοσεβεῖς, καὶ φιλόχριστοι ὑμεῖς πάντες ἀναλογιζόμενοι τὴν μεγίστην ἀνάγκην τῆς κακώσεως αὐτῶν, καὶ ταλαιπωρίας, τό τε προγεγονὸς βαρύτατον χρέος ὑπὲρ τῆς παραμυθίας αὐτῶν, ἐφ' ᾧπερ ἐνέχονται οἱ ἐγγυηθέντες ἐκκλησιαστικοί τε, καὶ λαϊκοὶ, συμπάσχοντες ἅπαντες παρὰ τῶν ἀπαραιτήτως, καὶ δεινῶς ἀπαιτούντων τὴν ὀφειλὴν τῆς ποσότητος, καὶ συνελόντι κινδυνεύοντες ἐσχάτως, ποιήσητε συναχθῆναι βοήθειαν, καὶ ἐλεημοσύνην ἁρμόζουσαν, καὶ ἀξιόλογον ἐξ ὧν ὑμῖν ὁ Θ(εὸ)ς ἐχαρίσατο ἀγαθὰ, καὶ ἐπιδείξητε πᾶσαν φιλεύσπλαγχνον γνώμην, προαίρεσιν, συνδρομὴν, σπουδὴν, ἐπιμέλειαν, καὶ προθυμίαν, κατὰ τὴν αἴτησιν ἡμῶν, πρὸς τὸν ἐπιφέροντα ἡμέτερον μ(ητ)ρόπολίτην τὰ παρόντα π(ατ)ριαρχικὰ συνοδικὰ ἡμῶν γράμματα, ἀποπληρωθησομένων τῶν ἐντολῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χ(ριστο)ῦ ὑπὸ τῆς φυσικῆς ὑμῶν καλοκαγαθίας, ὡς αἰνετὸν τὸ ὄνομα ὑμῶν ἀπὸ Ἀνατολῶν μέχρι Δυσμῶν, ἵνα διὰ τῆς καλῆς ὑμῶν ἐλεημοσύνης, καὶ ἀγαθοεργίας, οἱ μὲν δυστυχεῖς αἰχμάλωτοι ἀπολυτρωθῶσι σὺν γυναιξὶ, καὶ τέκνοις ἐκ

τῆς πικρᾶς καὶ σκληρᾶς δουλείας, ἐλευθερωθῶσι τε καὶ οἱ συμπάσχοντες ἐκ τῆς ὀφειλῆς καὶ ἐνοχῆς τῆς ἑαυτῶν ἐγγυήσεως, ὑμεῖς δὲ τοὺς ἀξίους μισθοὺς ἐξ οὐρανοῦ μυριοπλασίως ἀντιλήψησθαι, καὶ ζωὴν τὴν αἰώνιον: ἔχοντες καὶ ἡμεῖς ἀπαραίτητον χρέος αἴρειν ἱκέτιδας χεῖρας Θ(εὸ)ν ὁσημέραι, καὶ δέεσθαι τῆς εὐσπλαγχνίας αὐτοῦ, καὶ παντοδυναμίας ὑπὲρ τῆς ὑγιείας καὶ σ(ωτη)ρίας ὑμῶν, ὑπὲρ τοῦ διατηρῆσαι, καὶ περιφρουρῆσαι τὰς βασιλείας ὑμῶν, καὶ πάσας τὰς ὑμετέρας ἀρχὰς καὶ ἐξουσίας κραταιὰς τε καὶ ἀνικήτους, ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τὰ σκῆπτρα ὑμῶν πάντα ἐχθρὸν, καὶ πολέμιον, ὑπὲρ τοῦ δωρηθῆναι ὑμῖν πάντα τὰ ἐφετὰ, καὶ καταθύμια, βαθύ τε γῆρας, καὶ λιπαρὸν, καὶ διαδοχὴν ἀδιάλειπτον, τήν τε εὐλογίαν καὶ εὐθηνίαν τοῦ Ἀβραὰμ, Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τὰ ἔσχατα τοῦ Ἰὼβ: Ἐπὶ δὲ τούτοις ὡς τέκνα ἡμῖν ἀγαπητὰ, καὶ περιπόθητα τὴν τοῦ Κ(υρίο)υ ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ εἰρήνην, καὶ ἀγάπην πᾶσιν ὑμῖν ἀποδιδόντες, ποθεινῶς ἐκ καρδίας ἐπιστέλλομεν τὴν ἀποστολικὴν εὐχὴν, καὶ εὐλογίαν, οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ πάντων ὑμῶν ἀμήν: —

Εδώθη ἐν Νέᾳ Ῥώμῃ ἐν τῷ Ἁγίῳ Γεωργίῳ, ἐπὶ τῷ δακτυλίῳ τοῦ ἁλιέως.·. Ἐν ἔτει σωτηρίῳ ,ΑΨΛΑ:— Τῆς ἀρχιερωσύνης ἡμῶν ἔτει πέμπτῳ:∼

(Διὰ τῆς πατριαρχικῆς χειρὸς τὸ)

Ἐν μηνὶ Μαΐῳ, ἰν(δικτιῶν)ος θ'ης : —

\+ Ὁ Καισσαρείας Νεόφυτος.
\+ Ὁ Κυζίκου Αὐξέντιος:·
\+ Ὁ Νικομηδείας Σεραφεὶμ:—
\+ Ὁ Νικαίας Καλλίνικος:·
\+ Ὁ Θεσσαλονίκης Ἰωακεὶμ:·
\+ Ὁ Ἀδριανουπόλεως Ἀθανάσιος:—

Γεώργιος Σπαντωνὴς μέγας ῥεφερενδάριος τοῦ Οἰκουμενικοῦ Θρόνου +

17.

1733, *Μηνὶ Σεπτεμβρίῳ.*

Μεμβράνα μήκ. 0.545, πλ. 0.725. Γραφὴ κανονικὴ καὶ ἐπιμελής. Τὰ κεφαλαῖα στοιχεῖα τῶν πρώτων πέντε λέξεων μέγιστα καὶ πεποικιλμένα φιλοκάλως, πάντων δὲ μέγιστον τὸ S τῆς πρώτης λέξεως. Μεγάλα καὶ πεποικιλμένα ὡσαύτως τὰ κεφαλαῖα στοιχεῖα τῶν δύο πρώτων λέξεων (Per Imperatorem) τῆς ὑπογραφῆς. Ὑπὸ τὸ κείμενον διακρίνεται τύπος μεγάλης κηρίνης σφραγῖδος ἐκπεσούσης. Ἐνιαχοῦ τὸ κείμενον ἐφθάρη ἐξ ὑγροῦ τινος ὀξέος. Ὄπισθεν τοῦ κειμένου ἑλληνιστί: «№ 3 Πατέντα Λατινική».

Sacræ Caesaræ Regiaeque Catholicæ Majestatis Domini Nostri Clementissimi Nomine Universis, et Singulis cujuscunque

Statûs, gradûs, Ordinis, dignitatis, conditionis, aut praeeminentiæ existentibus, tam Ecclesiasticis, quam Saecularibus Magistratibus, item Urbium, Oppidorum, aliorumque quorumvis locorum, et Communitatum Rectoribus, et Magistris, nec non portuum, pontium, et passuum Custodibus tum etiam praelibatæ suæ Majestatis militaribus Officialibus cæterisque gregariis, tam (ae)questris, quàm pedestris Ordinis Militibus et aliis quibusvis hisce benevolè significandum. Exhibitorem praesentium admodum Reverendum Dominum **Paisium Emanuelem de Pogonati** Archi=Episcopum (Patrarum in Achaia Moreæ documentis testimonialibus authenticis exposuisse, se per imanem tyrranicamque persecutionem infidelium Zelô fidei Catholicæ, multifarias aerumnas, afflictiones, et tormenta, gravissimosque, ac diuturnos Carcerum Squalores perpessum fuisse, et posteaquam infinita Dei misericordiâ, et providentiâ è tam atroci, crudelique captivitate evasisset, relictâ in felice suâ familiâ, Consanguineis, ac aliquibus compatriotis suis simul secum in memorata dira captivitate Turcarum detentis, ad Augustissimam Aulam Caesaream pro imploranda benignissima Ejusdem assistentia confugisse, modò autem tam in Sacrum Romanum Imperium omnesque ditiones haereditarias praelibatæ Majestatis Suae, quam ad extera Regna et Provincias, ad colligendam pro eliberandis dictis captivis Christi fidelibus eleemosynam proficisci intendere, humillimè supplicando, quatenus eidem hunc in finem Protectionales non minus, quam promotoriales Literæ benignè impertirentur. Cui tam pio, ac laudabili Christianæ charitatis operi proinde, ut undique semotis omnibus impedimentis insultibus, ac periculis tutè vacare illudque tantò facilius et citius perficere, atque ad redimendos suprâ nominatos captivos reverti valeat omnes et singuli praerecensiti cujuscunque Statûs, conditionis aut dignitatis sint, repetitæ Sacræ, Caesareæ, Regiaeque Catholicæ Majestatis Nomine Ejusdem ditioni . . n subjecti hisce benevolè requiruntur Militibus verò, Subditisque Caesareo=Regiis seriò injungitur, ac demandatur, ut ante nominatum Dominum Archi=Episcopum **de Pogonati** unâ cum alio Sacerdote, interprete, et famulo, sarcinis, aliisque rebus, quas secum habere posset, non solum ubique locorum absque ulla molestia, detentione, aut renitentia, liberè, secureque ire, transire, commorari redireque nec ullis uspiam injuriis affici permittere, sed potiùs optimè commendatum habere et omnibus benevolentiæ officiis

prosequi, Eidemque non minus curribus, equis, aut aliô quòvis modô pro tutè celeriterque perficiendo itinere et ad omnem . . opensam voluntatem operam et assistentiam praestare et apud probos Christianos pro redimendis saepè mentionatis in Turcica captivitate gementibus captivis necessarium Lytrum colligendi facultatem concedere nec non ipsimet ex charitate proximi liberali subsidiô succurrere velint; Facturi in eo rem voluntati Caesareo=Regiae conformem, gratiâ suâ recognoscendam. In cujus rei fidem præsentes Literæ Sigillô Caesareô munitæ, et corroboratæ fuere, Quae dabantur Viennæ Die Vigesimâ Mensis Septembris Annô Millesimô Septingentesimô Trigesimô Tertiô.

(Τ. Σ.)

Per Imperatorem
Ex Consilio Bellico
Die, et Annô ut Suprâ
Ignatius à Koch.

18.

1794, *Μηνὶ Ἰουνίῳ ἰνδ.* 12.

(Μεμβράνα ἐπιμήκης, μήκ. 0.715, πλ. 0.59, ὑποστᾶσα φθοράν τινα ὑφ' ὕδατος. Πρὸς τὰ κάτω διὰ κυανῆς μετάξης ἀπῃώρηται μολυβδίνη σφραγὶς διαμέτρου 0.063, φέρουσα ἐπὶ τῆς πρώτης ὄψεως τὴν Θεοτόκον ἐν τῇ ἀριστερᾷ κρατοῦσαν ἀγκάλῃ τὸ βρέφος Ἰησοῦν, τὴν δεξιὰν δὲ ἐπὶ τοῦ ἰδίου αὐτῆς ἔχουσαν στήθους. Ἑκατέρωθεν τῆς Θεοτόκου τὰ στοιχεῖα $\overline{ΜΡ}$ $\overline{ΘΥ}$, ἑκατέρωθεν δὲ τοῦ βρέφους τὰ $\overline{ΙC}$ $\overline{ΧC}$. Ἐπὶ τῆς ἑτέρας ὄψεως τῆς σφραγῖδος ἐπιγραφὴ ὀκτάστιχος μεταξὺ τεσσάρων ἀστερίσκων: ΓΕΡΑCΙΜΟC | ΕΛΕΩ ΘΕ8 | ΑΡΧΙΕΠΙCΚΟΠΟC | ΚΩΝCΤΑΝΤΙΝΟΥΠΟΛΕΩ | ΝΕΑC ΡΩΜΗC ΚΑΙ ΟΙ|ΚΟΥΜΕΝΙΚΟC | ΠΑΤΡΙΑΡΧΗS | $\overline{ΑΨϤΔ}$).

\+ ***Γεράσιμος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.***

\+ Οὔτε ἀναγκαῖον, ἀλλὰ καὶ περιττὸν ἂν δόξειε <ἐπὶ τοῦ παρόντος αὐ> τοὺς προφασιζομένους, μακρηγορεῖν, ὅτι περι<[illegible]> καὶ ἰδίου<μάλιστα> τοῖς χριστιανοῖς ὁ περὶ φιλαδελφίας λόγος ἐστίν, ὅπου γε καὶ ὁ θεολογίας ἐπώνυμος, καὶ ἐπιστήθιος Ἰωάννης, ἐν οἷς ἡμῖν πρὸς εὐσέβειαν θαυμασίως ἐμυσταγώγησε λ<[illegible]> ταύτην γνώμην προανακηρύττων ἀπεφήνατο, ὅτι οὐδὲν ἕτερον ἐνδεικτικὸν καὶ παραστατικὸν τῆς πρὸς θεὸν ἀγάπης, ὅσον ἡ πρὸς τὸν πλησίον ἐνεργουμένη. πρῶτον μὲν γὰρ πᾶς ὁ τὴν κατὰ Χριστὸν ἀγάπην τὸν πλησίον ἀγαπήσας, δῆλός ἐστι καὶ τὸν θεὸν ἀγαπᾷν. *ἐν τούτῳ γάρ φησι γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταὶ ἐστέ, ἐὰν ἀγαπᾶτε ἀλλήλους*. ἔπειτα δέ, ὅτῳ τῶν δύο τούτων ἀρετῶν τῆς πρὸς θεὸν φα-

ἐκ παλαιοῦ ἀντιγράφου προεξέδωκε τοῦτο Γεώργιος Π. Γεωργιάδης: ὁ ἐν Γαλατᾷ ἱερὸς ναὸς τοῦ ἁγίου Ἰωάννου τῶν Χίων. Ἐν Κ/πόλει 1898, σ. 162-8.

μὲν ἀγάπης, καὶ τῆς πρὸς τὸν πλησίον, ἐν πράξει γενέσθαι ἐμέλησεν, οὗτος ἂν εἴη τῷ ὄντι χριστιανός, καὶ πάσας τὰς ἄλλας ἀρετὰς συνειλοχὼς ἐν ἑαυτῷ. ὁ μὲν γὰρ τὸν θεὸν ἀγαπῶν, καὶ τὰς τοῦ θεοῦ φυλάξει ἐντολάς. ὁ δὲ τὰς τοῦ θεοῦ φυλάττων ἐντολάς, δίκαιος δήπου ἔσται, σώφρων, εὐσεβής, καὶ τὰς λοιπὰς ἀσκῶν ἀρετάς, ἀγαπῶν δὲ καὶ τὸν πλησίον, ὡς ἑαυτόν. ὁ δὲ τὸν πλησίον ἀγαπῶν, πάντως καὶ τὰ πρὸς τὴν χρείαν ἐκείνῳ προθύμως συναντιλήψεται. γυμνὸν γὰρ ὄντα περιβαλεῖ, πεινῶντι, καὶ διψῶντι, φαγεῖν, καὶ πιεῖν δώσει, ἀσθενοῦντι ἐπιμελήσεται, ἐν φυλακῇ προσελεύσεται. εἰ δέ τις ἐπὶ τοσοῦτον ἧκεν ἠλιθιότητος καὶ φαυλότητος, ὥστε μήτε τὸν θεὸν ἀγαπᾶν, μήτε τὸν πλησίον, ὡς ἑαυτόν, περὶ τούτου οὐδεὶς ἂν ἀμφιγνοήσειε πᾶσαν ἀρετὴν ἀφαιρεῖσθαι. ὁ μὲν γὰρ τὸν θεὸν μὴ ἀγαπῶν, οὐ δίκαιος, οὐκ εὐσεβής, οὐ σώφρων ἔσται, οὐδὲ τὰς ἄλλας φυλάξει αὐτοῦ ἐντολας, οὔτε μὴν τὸν πλησίον ἀγαπήσει, ὡς ἑαυτόν. ὁ δὲ μὴ τὸν πλησίον ἀγαπῶν, οὗτος, οὔτε γυμνητεύοντι, οὔτε πεινῶντι, ἢ διψῶντι, οὔτε τοῖς ἐν φυλακῇ καὶ ἀσθενείαις, ἢ ταῖς ἄλλαις ἀνάγκαις καὶ συμφοραῖς ἐπιδώσει τὰ πρὸς τὴν χρείαν. ταῦτ' ἄρα καὶ ἐν τῷ. *ἀγαπήσεις κύριον τὸν θεόν σου, καὶ τὸν πλησιον σου, ὡς ἑαυτὸν*, ἅπας ὁ νόμος καὶ οἱ προφῆται κρέμανται κατὰ τὰ θεῖα, καὶ ἱερὰ λόγια. τῆς δ' ἑτέρας τῶν ἐντολῶν τούτων σαφὲς τεκμήριον τὴν ἑτέραν αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς παραδίδωσιν, ἐν οἷς φησὶν, *ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταὶ ἐστὲ, ἐὰν ἀγαπᾶτε ἀλλήλους*, τὴν φιλαδελφίαν σαφὲς τεκμήριον τῆς κατὰ χριστιανοὺς φιλοθεΐας τιθέμενος. ἀλλ' ὅσα μὲν καὶ οἷα πρὸς ψυχικὴν σωτηρίαν δύναται τὸ τὸν πλησίον ἀγαπᾷν, καὶ τὸ πρὸς τοὺς δεομένους ἐπικουρητικὸν, ἐπιλείψει ἡμᾶς ὁ πᾶς χρόνος διηγουμένους. ἔνθεν τοι τὰ περὶ τούτου ἀφέντας, ἵνα μὴ μακρηγορεῖν δόξωμεν, ἐπὶ τὰ λοιπὰ χωρητέον τοῦ λόγου. ἐπὶ γὰρ τοῦ προκατόχου ἡμῶν παναγιωτάτου ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ κυρίου Νεοφύτου, ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία, ἔγνω τὰ κατὰ τὰς θείας ταύτας ἐντολὰς ἐπιτελέσαι, τῇ ἐπισκευῇ τῶν κατὰ τὸν Γαλατᾶν δύο νοσοκομείων, καὶ τῇ ἀνακτίσει τοῦ κατὰ τοὺς Ἑπτὰ Κουλάδες κατερηριμμένου νοσοκομείου, καὶ τῇ ἐπιμελείᾳ τῶν ἐν ταῖς εἱρκταῖς Πόλεως, καὶ Γαλατᾶ. καὶ κοινὸν ἱερὸν πατριαρχικόν τεσσαρακονταλείτουργον προκατηγγέλθη πᾶσι τοῖς χριστιανοῖς Πόλεως, Γαλατᾶ, καὶ Καταστένου, καταγράψαι ὀνόματα ζώντων καὶ τεθνεώτων, ὅσα τε, καὶ ἐφ' οἵῳ ἂν ἕκαστος προαιρεῖται, ἀφ' ὧν γενήσοιτο μὲν ἡ τῶν νοσοκομείων ἐπισκευή τε καὶ ἀνάκτησις, διαμενοῖ δὲ καὶ ἡ τῶν ἐν φυλακαῖς ἐπιμέλεια. καὶ τὸ μὲν τεσσαρακονταλείτουργον συνετελέσθη, τά γε μὴν παρὰ τῶν χριστιανῶν συναχθέντα ἐλέη, μηδὲ γοῦν πρὸς τὴν οἰκοδομὴν τοῦ κατὰ τοὺς Ἑπτὰ Κουλάδες νοσοκομείου ἱκανὰ ἀνεφάνησαν, ἀλλὰ τὰ πρὸς οἰκοδομὴν τούτου ᾠκονομήθησαν διὰ προστασίας καὶ ἐπιμελείας τοῦ ῥηθέντος παναγιωτάτου προκατόχου ἡμῶν. ὅμως δ' οὖν, ἐφ' ᾧ τὰ κατὰ τὸν Γαλατᾶν ἐπισκευασθῆναι

νοσοκομεῖα, καὶ τοὺς ἀσθενεῖς, καὶ τοὺς ἐν φυλακαῖς τυγχάνειν ἀδελφοὺς ἐπισκέψεως ἐς ἀεὶ, ἐδέδοκτο ἐπιστῆσαι τὴν προστασίαν τῶν εὐλογημένων ῥουφετίων, μετάπεμπτοι καὶ τότε γενέσθαι οἱ προκριτώτεροι αὐτῶν, ἐξελέξαντο καθ' ἑαυτοὺς τὰ πέντε ῥου⟨φέτια⟩, τοὺς γουναράδες δηλαδὴ, καὶ τζεβαχερτζίδες, καὶ τῶν Χίων τοὺς τζοχατζίδες τε, καὶ γεταϊτζίδες, καὶ τοὺς ἀμπατζίδες, κατὰ κοινὴν γνώμην καὶ συναίνεσιν, ἐπιθέντες αὐτοῖς, καὶ ἐπιτρέψαντες πᾶσαν τὴν ⟨ἐπιστασίαν⟩ τῶν τριῶν νοσοκομείων καὶ τῶν ζιντανίων, καὶ ἄλλων φυλακῶν, τῶν τε ἐν τῇ Πόλει, καὶ τῶν ἐν Γαλατᾷ, ἐπὶ τοιαύταις μέντοι ὑποσχέσεσι, καὶ συμφωνίαις, ὅπως πρῶτον μὲν οἱ χριστιανοὶ τῶν ῥ⟨ηθέντων⟩ πέντε ῥουφετίων κατὰ τελείαν πληρεξουσιότητα ἀποκαθιστῶσι καὶ διορίζωσιν ἐπιτρόπους τῶν ῥηθέντων ζιντανίων, φυλακῶν καὶ νοσοκομείων, ἄνδρας φιλοθέους, εὐλαβεῖς, καὶ φιλαδέλφους, μὴ μόνον ἀπὸ τῶν ῥουφετίων αὐτῶν, ἀλλὰ καὶ ἀπὸ τῶν λοιπῶν ῥουφετίων. δεύτερον δὲ ἐν ἑκάστῃ ἐκκλησίᾳ Πόλεως, Γαλατᾶ, καὶ Καταστένου διορίσωσιν ἐπιτρόπους, ἵνα ἐν πάσαις ταῖς Κυριακαῖς, καὶ ἑορταῖς, μετὰ τοὺς δύο δίσκους τῆς ἐκκλησίας, ἀμέσως περιφέρωσι κουτεῖον ἐλεημοσύνης ζιντανίων, καὶ ὀσπηταλίων. τρίτον δὲ ἕκαστον ῥουφέτιον ἀποδείξῃ καὶ διορίσῃ μηνιαῖον τινὰ ἔλεον κατὰ δύναμιν, ὅστις ἐγχειρισθήσεται τοῖς παρ' αὐτῶν τῶν πέντε ῥουφετίων διοριζομένοις ἐπιτρόποις. τέταρτον δὲ οἱ τὰς διαθήκας ποιούμενοι ἀναμιμνήσκωνται, καὶ τῶν ὀσπηταλίων, καὶ ζιντανίων τούτων, καὶ ἀνατιθῶσιν εἰς αὐτὰ, εἴτε λόγῳ παρρησίας, καὶ προθέσεως, εἴτε ἄλλως πως, ὅσα περ ἂν βούλωνται. πέμπτον δὲ οἱ ἐν τῇ Πόλει, Γαλατᾷ, καὶ Καταστένῳ πνευματικοὶ πατέρες κατὰ χρέος προτρέπωσι τὰ πνευματικὰ αὐτῶν τέκνα, εἰς ἀντίληψιν καὶ βοήθειαν τῶν ζιντανίων, νοσοκομείων, καὶ τοιούτων τινῶν. ἕκτον δὲ οἱ προχειριζόμενοι εἰς ἐπαρχίας, ἢ μετατιθέμενοι ἀρχιερεῖς, ἀποδιδῶσιν εἰς αὐτὰ τὰ ὀσπητάλια, καὶ φυλακὰς ἕκαστος, ὁ μὲν τῆς πρώτης τάξεως γρόσια ἑκατὸν πεντήκοντα, ὁ δὲ τῆς δευτέρας ἑκατὸν, ὁ δὲ τῆς τρίτης πεντήκοντα. ἕβδομον δὲ καὶ τελευταῖον, ὅπως οἱ ἐν τοῖς νοσοκομείοις τούτοις κατ' ἄδειαν πατριαρχικὴν, καὶ ἐκλογὴν τῶν εἰρημένων πέντε ῥουφετίων διοριζόμενοι ἱερεῖς καὶ πνευματικοὶ, ὑπάρχωσι πάντῃ ἀσύδοτοι, καὶ ἐλεύθεροι τῆς πρὸς τὸν κατὰ καιροὺς πατριάρχην φιλοτιμίας. Ταῦτα μὲν οὖν κατὰ κοινὴν γνώμην, καὶ συναίνεσιν, τότε συνετέθη. ἤδη δὲ καὶ ἡ μετριότης ἡμῶν ἐλέῳ θείῳ τοὺς οἴακας τοῦ οἰκουμενικοῦ τούτου σκάφους διαδεξαμένη, καὶ οὐκ ἀνεκτὸν ἡγουμένη, εἰ τὸ κοινωφελὲς καὶ θεάρεστον τοῦτο ἔργον ἡμιτελὲς παραλίποι, καὶ τὴν σύστασιν τῶν νοσοκομείων ἐν μόναις τυχηραῖς κινδυνευομένην προσόδοις, προσεθήκαμεν δι' ἑτέρου ἡμετέρου πατριαρχικοῦ συνοδικοῦ σιγγιλιώδους γράμματος τοῖς ῥηθεῖσι νοσοκομείοις καὶ πᾶσαν τὴν πρόσοδον τῆς ἔξωθι τῆς Κωνσταντινουπόλεως ἐκκλησίας τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, καὶ τοῦ ἐν αὐτῇ ἁγιάσματος τοῦ Μπαλουκλείου, διὰ τοῦ παρόντος δὲ ἔγνωμεν ἁπλως

κρατύναι τὰ ἀνωτέρω ἀπηριθμημένα κεφάλαια, καὶ τὴν ἐπιτροπικὴν πρὸς διαμονὴν τῆς ἐπισκέψεως τῶν ἐν τοῖς νοσοκομείοις καὶ εἱρκταῖς χριστιανῶν, κατὰ τὴν κοινὴν γνώμην καὶ συναίνεσιν πάντων τῶν εὐλογημένων ῥουφετίων. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς, μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα οἱ χριστιανοὶ τῶν ῥηθέντων πέντε εὐλογημένων ῥουφετίων, γουναράδες δηλαδὴ, τζεβαχερτζίδες, καὶ τῶν Χίων οἱ τζοχατζίδες, καὶ χεταϊτζίδες καὶ οἱ ἀμπατζίδες, ἔχωσι πᾶσαν τὴν φροντίδα καὶ ἐπίσκεψιν τῶν τε τριῶν νοσοκομείων, καὶ τῶν ζιντανίων καὶ ἄλλων φυλακῶν, ἐπὶ τοῖσδε τοῖς κεφαλαίοις, ὡς εἴρηται, ὅπως πρῶτον μὲν οἱ χριστιανοὶ τῶν ῥηθέντων πέντε ῥουφετίων κατὰ τελείαν πληρεξουσιότητα ἀποκαθιστῶσι καὶ διορίζωσιν ἐπιτρόπους τῶν ῥηθέντων ζιντανίων, φυλακῶν, καὶ νοσοκομείων, ἄνδρας φιλοθέους, εὐλαβεῖς, καὶ φιλαδέλφους, ⟨οὐ μόνον⟩ ἀπὸ τῶν ἐσναφίων αὐτῶν, ἀλλὰ καὶ ἀπὸ τῶν λοιπῶν ῥουφετίων· δεύτερον δὲ ἐν ἑκάστῃ ἐκκλησίᾳ Πόλεως, Γαλατᾶ, καὶ Καταστένου, διορίσωσιν ἐπιτρόπους, ἵνα ἐν πάσαις ταῖς Κυριακαῖς καὶ ἑορταῖς, μετὰ τοὺς δύο δίσκους τῆς ἐκκλησίας, ἀμέσως περιφέρωσι κουτεῖον ἐλεημοσύνης ζιντανίων, καὶ ὀσπηταλίων· τρίτον δὲ ἕκαστον ῥουφέτιον ἀποδείξῃ καὶ διορίσῃ μηνιαῖον τινὰ ἔλεον κατὰ δύναμιν, ὅστις ἐγχειρισθήσεται τοῖς παρ' αὐτῶν τῶν πέντε ἐσναφίων διοριζομένοις ἐπιτρόποις· τέταρτον δὲ οἱ διαθήκας ποιούμενοι ἀναμιμνήσκωνται καὶ τῶν ὀσπηταλίων καὶ ζιντανίων τούτων, καὶ ἀναθέτωσιν εἰς αὐτὰ, εἴτε λόγῳ παῤῥησίας καὶ προθέσεως, εἴτε ἄλλως πως, ὅπως ἂν βούλωνται· πέμπτον δὲ οἱ ἐν τῇ Πόλει, Γαλατᾷ, καὶ Καταστένῳ πνευματικοὶ πατέρες κατὰ χρέος προτρέπωσι τὰ πνευματικὰ αὐτῶν τέκνα εἰς ἀντίληψιν καὶ βοήθειαν τῶν ζιντανίων, ὀσπηταλίων, καὶ φυλακῶν· ⟨ἕκτον δὲ⟩ οἱ προχειριζόμενοι εἰς ἐπαρχίας, ἢ μετατιθέμενοι ἀρχιερεῖς ἀποδιδῶσιν εἰς αὐτὰ τὰ ὀσπητάλια, καὶ φυλακὰς ἕκαστος, ὁ μὲν τῆς πρώτης τάξεως ⟨γρόσια ἑκατὸν πεντήκοντα, ὁ δὲ τῆς δευτέρας⟩ ἑκατὸν, ὁ δὲ τῆς τρίτης πεντήκοντα· ἕβδομον δὲ καὶ τελευταῖον, ὅπως οἱ ἐν τοῖς ὀσπητα⟨λίοις τούτοις⟩ κατ' ἄδειαν ⟨πατριαρχικὴν⟩ καὶ ἐκλογὴν τῶν εἰρ⟨ημέν⟩ων πέντε ῥουφετίων διοριζόμενοι ἱερεῖς καὶ πνευματικοὶ ⟨ὑπάρχωσι πάντη ἀσύδοτοι καὶ ἐλεύθεροι τῆς πρὸς τὸν κατὰ καιροὺς⟩ πατριάρχην φιλοτιμίας. Ὅσοι δ' ἂν καὶ ὁποῖοι τῶν λαϊκῶν μικροὶ, ἢ μεγάλοι, ἱερωμένοι, ἢ πνευματικοὶ, ὁποιασοῦν τάξεως καὶ ⟨ἂν ὦσιν⟩, ἐπιχειρήσωσιν, ἐμμέσως, ἢ ἀμέσως, κρυφίως, ἢ φανερῶς παραβῆναι, καὶ ἀνατρέψαι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι γνώμῃ συνοδικῇ, καὶ κοινῇ ἀποφανθέντα καὶ κυρωθέντα, οἱ τοιοῦτοι, ὡς διεστραμμένοι καὶ κακότροποι, ὡς ἐναντίοι ταῖς δεσποτικαῖς θείαις ἐντολαῖς, ὡς κοινοβλαβεῖς, καὶ ἐπιζήμιοι τῷ γένει ἡμῶν, ἀφωρισμένοι εἴησαν ἀπὸ τῆς ἁγίας, ὁμοουσίου, ζωοποιοῦ, καὶ ἀδιαιρέτου τριάδος τοῦ ἑνὸς τῇ φύσει μόνου θεοῦ, καὶ κατηραμένοι, καὶ ἀσυγχώρητοι, καὶ ἄλυτοι μετὰ θάνατον,

καὶ τυμπανιαῖοι, καὶ πάσαις ταῖς πατρικαῖς, καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνοι, καὶ ὑπόδικοι, καὶ ἔνοχοι τῷ αἰωνίῳ πυρὶ τῆς Γεέννης. Ταῦτα μὲν οὖν ἀπεφάνθη, καὶ κεκύρωται συνοδικῶς, εἰς δὲ τὴν περὶ τούτων ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν, ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγγιλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡ(μᾶς τοῦ Χρ)ιστοῦ Μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη εἰς χεῖρας τῶν προκριτωτέρων χριστιανῶν τῶν εἰρημένων πέντε εὐλογημένων ῥουφετίων +

Ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑ(πτακοσιοστῷ) ἐνε(νη)κοστῷ τετάρτῳ, κατὰ μῆνα Ἰούνιον, ἐπινεμήσεως δεκάτης δευτέρας.

(Διὰ τῆς πατριαρχικῆς χειρὸς ἡ ἑξῆς ὑπογραφή).

+ ***Γεράσιμος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης:*** +

(Αἱ ὑπογραφαὶ τῶν συνοδικῶν).

+ Ὁ Καισαρείας Γρηγόριος.
+ Ὁ Ἐφέσου Σαμουήλ.
+ Ὁ Ἡρακλείας Μεθόδιος.
+ Ὁ Κυζίκου Ἀγάπιος.
+ Ὁ Νικομηδείας Ἀθανάσιος.
+ Ὁ Χαλκηδόνος Ἱερεμίας.
+ Ὁ Δέρκων Μακάριος.
+ Ὁ Προύσης Ἄνθιμος.
+ Ὁ Σμύρνης Γρηγόριος.
+ Ὁ Ἀγκύρας Ἰωαννίκιος.
+ Ὁ Ἀγχιάλου Ἰωακείμ.
+ Ὁ Βάρνης Φιλόθεος.

19.

1797, *Μηνὶ Νοεμβρίῳ ἰνδ.* 1.

(Μεμβράνα ἐπιμήκης, μήκ. 0.70, πλ. 0.49 κατὰ τὸ εὐρύτερον αὐτῆς μέρος. Πρὸς τὰ κάτω διὰ κυανῆς μετάξης ἀπῃώρηται μολυβδίνη σφραγὶς διαμέτρου 0.064, φέρουσα ἐπὶ τῆς μιᾶς ὄψεως τὴν Θεοτόκον ἐν τῇ ἀριστερᾷ κρατοῦσαν τὸ βρέφος Ἰησοῦν, τὴν δεξιὰν δὲ ἐπὶ τοῦ ἰδίου αὐτῆς ἔχουσαν στήθους. Ἑκατέρωθεν τῆς Θεοτόκου τὰ στοιχεῖα $\overline{\text{MP}}$ $\overline{\text{ΘΥ}}$, ἑκατέρωθεν τοῦ βρέφους τὰ $\overline{\text{IC}}$ $\overline{\text{XC}}$. Ἐπὶ τῆς ἑτέρας ὄψεως τῆς σφραγῖδος ἐπιγραφὴ ὀκτάστιχος μεταξὺ τεσσάρων ἀστερίσκων: ΓΡΗΓΟΡΙΟC | ΕΛΕΩ ΘΕΟΥ | ΑΡΧΙΕΠΙCΚΟΠΟC | ΚΩΝSΑΝΤΙΝȢΠΟΛΕΩ | ΝΕΑC ΡΩΜΗC ΚΑΙ ΟΙ | ΚΟΥΜΕΝΙΚΟC | ΠΑΤΡΙΑΡΧΗS | ΑΨΥΖ. Ὄπισθεν τῆς μεμβράνης διὰ λογίας χειρὸς 19-ου αἰῶνος: «Πατριαρχικὸν καὶ συνοδικὸν γράμμα ἐκδοθὲν ἐν τῇ πατριαρχείᾳ τοῦ παναγιωτάτου πρώην οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίου Γρηγορίου. τὸ ὁποῖον ὑπάρχει πάντῃ ἄχρηστον καὶ ἀνωφελὲς, ἐπειδὴ ὁμολογεῖται ἡ ἀντίφασις, δηλ: ἃ μὲν πρῶτον ἐπιβεβαιοῖ ταῦτα ἐς ὕστερον ἀναιρεῖ, ὅτι πρῶτον μὲν ἐπικυρεῖ τὸ προδοθὲν σιγγιλιῶδες γράμμα ἐν τῇ πατριαρχείᾳ καὶ ἐν μακαρίᾳ τῇ λήξει κυρίου Προκοπίου. ἔπειτα πρὸς τὸ τέλος γράφει νὰ δίδουν εἰς τὸ σχολεῖον μόνον τριακόσια γρόσια ἀπὸ τὴν ἐν Βουκουρεστίῳ ἱερὰν μονὴν τοῦ προφήτου Προδρόμου»).

+ Ὁ Γρηγόριος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως καὶ οἰκουμενικὸς πατριάρχης +

+ Ὅσα μὲν κατὰ τοὺς θείους θεσμοὺς καὶ τοὺς ἱεροὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας τυγχάνει διακυβερνώμενα, πολλὴν ἔχουσι τὴν χάριν παρὰ θεοῦ, καὶ τὸ ἔλεος μέγιστον· ὅσα δὲ τοὐναντίον παραβαίνει τῶν ὅρων ἐκτρεπόμενα, ἐν τούτοις προφανὴς ἡ ἀκοσμία, κατάδηλος ἡ φθορά, καὶ ἐπὶ πᾶσιν ἡ τῶν ψυχῶν ἀπώλεια. εἰ γὰρ καθάπερ οἱ περὶ τῶν καθ' ἕκαστα ἐκκλησιῶν νόμοι, οὕτω καὶ οἱ περὶ τῶν σταυροπηγιακῶν μοναστηρίων τῶν ὑπὸ τῷ καθ' ἡμᾶς ἀποστολικῷ, καὶ οἰκουμενικῷ θρόνῳ ἀπαράτρεπτοι διαφυλάττοιντο, καὶ τῆς κατὰ νόμους ἐπιμελείας καὶ προστασίας κἀκεῖνα ἠξιοῦντο παρὰ τῶν ἀεὶ πατριαρχευόντων, οὐκ ἂν τοσαῦτα καὶ τηλικαῦτα τὰ δεινὰ τοῖς μοναστηρίοις συνέβαινεν. ἀλλ' ἐπειδή, οὐκ οἴδαμεν ὅπως τῶν ἱερῶν παρημελημένων νόμων, εἰς τοσαύτην προῆλθον ἀκαταστασίαν καὶ ἐλεεινὴν ἀπώλειαν τὰ ἱερὰ ταῦτα καταγώγια, διὰ ταῦτα εὐθὺς ἀνειληφόσιν ἡμῖν τοὺς οἴακας τοῦ παγκοίνου τουτουῒ σκάφους, ἔδοξε πρὸς τοῖς ἄλλοις, καὶ τὰ παρημελημένα αὐτὰ εὐαγῆ μοναστήρια διορθώσασθαι, ἀφορῶσι πρὸς τὸ ἐκείνων συμφέρον, ὡς μέλη γνήσια ὄντα τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, καὶ τῷ σταυροπηγιακῷ, καὶ πατριαρχικῷ προνομίῳ τετιμημένα. ἄλλως τε οὐδὲ καινούς τινας ἀφ' ἑαυτῶν νόμους φέρουσιν, ἀλλ' ἀρχαίους ἀνανεουμένοις καὶ γεραρούς. τὴν γὰρ τῶν ἐκκλησιαστικῶν πραγμάτων προστασίαν τοῖς ἐπισκόποις ἐπιτρέπουσιν οἱ θεῖοι καὶ ἱεροὶ νόμοι καὶ κανόνες, τὸν τοῦ θεοῦ φόβον προτίθεσθαι διακελευόμενοι, ἵνα, εἴ γε δέοιντο, καὶ αὐτοὶ ἀπολαμβάνωσιν, ὃν τρόπον ὁ λη΄ος: τῶν ἁγίων ἀποστόλων κανών, καὶ ὁ κα΄ος: τῆς ἐν Ἀντιοχείᾳ ἱερᾶς συνόδου, καὶ ἡ ἐν Χαλκηδόνι, οὐ μὴν ἀλλὰ καὶ τῆς ἐν Νικαίᾳ ὅ τε ιε΄ος: καὶ ὁ ιβ΄ος: καὶ τῆς ἐν Ἀγκύρᾳ ὁ ιε΄ος: καὶ ὁ μθ΄ος: τῆς ἐν Τρούλλῳ, καὶ ἄλλοι πλεῖστ' ὅσοι σεπτοὶ νόμοι καὶ κανόνες σαφῶς φαίνονται τὴν τῶν ἱερῶν μοναστηρίων ἐξουσίαν τοῖς ἐπισκόποις διδόντες, ὥστε μεταλαμβάνειν μὲν καὶ αὐτοὺς τῶν δεόντων, εἴ γε δέοιντο, εἰς τὰς ἑαυτῶν χρείας, τὴν δὲ περὶ ἐκεῖνα ἐπιμέλειαν μεγίστην τε καὶ ὡς θεοῦ ἐφορῶντος ποιεῖσθαι, ἵνα προστατεύωσιν αὐτῶν, καὶ οἰκονόμους, καὶ ἐπιτρόπους, καὶ ἡγουμένους ἀποκαθιστῶσιν ἐν αὐτοῖς καλῶς περὶ τῆς αὐξήσεως καὶ βελτιώσεως τούτων ἐπιμελούμενοι, ἵνα μὴ δι' ἀμέλειαν ἔνοχοι γένωνται τοῖς ἐκ τοῦ νόμου ἐπιτιμίοις. οἱ δὲ οἰκονόμοι ἡγούμενοί τε, καὶ ἐπίτροποι, διαμένουσιν ὑπὸ τὴν ἐξουσίαν τῶν ἐπισκόπων, καὶ δίχα τῆς ἀδείας αὐτῶν μήτε πωλῶσι μοναστηριακόν τι κτῆμα ἀλλ' οἰκονομῶσι καλῶς πρὸς τὴν ἐκείνων ὁδηγίαν καὶ ἄδειαν, ὅπως μὴ καὶ αὐτοὶ ὡς ἀνατρέποντες τοὺς ἐκκλησιαστικοὺς τούτους ὅρους καὶ κανόνας, βαρυτάτοις ὑποπέσωσι τοῖς ἐπιτιμίοις καὶ τιμωρίαις. ταῦτα μὲν οὖν οἱ θεῖοι νόμοι ἀποφαίνονται περὶ τῶν ἱερῶν μοναστηρίων. τούτων δὲ τὰ μὲν τοῖς κατὰ τόπον ἐπιτετραμμένοις ἐνοριακὰ τῆς

προσηκούσης ἀρχιερατικῆς ὡς εἰκὸς ἐπ' αὐξῆσαι τυγχάνει ἐπιμελείας, μόνα δὲ τὰ τῇ σταυροπηγιακῇ ἀξίᾳ τετιμημένα, οὐκ οἴδαμεν ὅπως, πρὸ χρόνων πολλῶν παρημέληται. καὶ δέον ὡς θεοῦ ἐφορῶντος διοικεῖσθαι αὐτά, καὶ ἐκ παντὸς τρόπου ἐπιμελείας τῆς ἀναλόγου ἀξιοῦσθαι. ὅπως αὐτοῖς τῶν ἀγαθῶν. τὰ μὲν ὑπάρχοντα διαμένῃ. περιποιεῖται δὲ τὰ προσγενησόμενα ἄν, τῶν δὲ φαύλων τὰ μὲν προσόντα ἀποδιοπομπεῖται. τὰ δὲ συμβησόμενα ἂν διακωλύωνται. τοιαύτην οὖν κατὰ νόμους τὴν ὑπὲρ αὐτῶν πάντων τῶν σταυροπηγιακῶν ἡμῶν μοναστηρίων καθόλου φροντίδα κατεβαλλόμεν ἐκθέμενοι κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν ἱερὸν τόμον ἀποφαινόμενον συνῳδὰ τοῖς ἱεροῖς νόμοις καὶ τοῖς ὧδε γραφομένοις περὶ τῆς εἰς τὸ ἑξῆς ἀρίστης διοικήσεως ἑκάστου σταυροπηγιακοῦ μοναστηρίου, καὶ εὐνομίας τῶν ἀσκουμένων ὁσιωτάτων πατέρων, καὶ τῆς δυνατῆς ἀντιλήψεως, καὶ ἀμέσου προστασίας αὐτοῦ παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας. ἀνανεοῦντες τὰ παλαιγενῆ πατριαρχικὰ καὶ συνοδικὰ αὐτῶν σιγγίλια δωρεάν, καὶ ἐπικυροῦντες ἅπαξ τὰ σταυροπηγιακὰ αὐτῶν προνόμια εἰς διηνεκῆ συντήρησιν αὐτῶν καὶ ἀσφάλειαν, μὴ δεόμενα ποτὲ ἀνανεώσεως καὶ ἐπικυρώσεως. ὡς καὶ περὶ τοῦ ἐν Ἰωαννίνοις ἱεροῦ καὶ σεβασμίου μοναστηρίου τοῦ προφήτου Ἠλιοῦ, μετὰ τοῦ ἐν Βουκουρεστίῳ τῆς Βλαχίας μετοχείου αὐτοῦ, τοῦ ἱεροῦ, φαμέν, μοναστηρίου τοῦ ἁγίου Ἰωάννου. Ἐνεφανίσθη γὰρ ἤδη ἡμῖν πατριαρχικὸν συνοδικόν, σιγγιλιῶδες γράμμα, ἐκδεδομένον ἐπὶ τῆς πατριαρχείας τοῦ προπατριαρχεύσαντος Κωνσταντινουπόλεως ἐν Χριστῷ τῷ θεῷ ἀγαπητοῦ καὶ περιποθήτου ἡμῶν ἀδελφοῦ κυρίου κυρίου Προκοπίου, ἐν ἔτει ͵αφπζῳ: καὶ περιέχον ὅτι τὸ ἱερὸν τοῦτο μοναστήριον τοῦ προφήτου Ἠλιοῦ, ἐνοριακὸν ὂν πρότερον, καὶ χρέεσι παμπόλλοις περιπεσόν, καὶ κατασχεθὲν ἐλεεινῶς παρὰ ἀλλοτρίων προσώπων, ὕστερον κατὰ συναίνεσιν τοῦ ἱερωτάτου μητροπολίτου Ἰωαννίνων, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Μακαρίου, καὶ τῶν περὶ τὴν αὐτοῦ ἱερότητα ἐντιμωτάτων κληρικῶν καὶ ἀρχόντων καὶ προκρίτων χριστιανῶν, ἀπαλλαγὲν τοῦ ὑπερόγκου ἐκείνου χρέους, ἀπὸ ἄσπρων ἀρχιμανδρίτου Δοσιθέου τοῦ ῥηθέντος μετοχείου αὐτοῦ, καὶ ἀφ' ὧν ἀνατεθείκασιν οἱ χριστιανοὶ εἰς τὴν ἐκεῖ ἐν Ἰωαννίνοις σχολὴν τοῦ Γκιούμα, ἀπεκατεστάθησαν σταυροπήγια, αὐτό τε καὶ τὸ ῥηθὲν μετόχειον, μετὰ πάντων τῶν κτημάτων καὶ πραγμάτων αὐτῶν, τοσοῦτον ἑνωθέντα τῇ ῥηθείσῃ σχολῇ, ὥστε νομίζεσθαι τὴν σχολὴν αὐτήν, καὶ τὸ μοναστήριον τοῦτο μετὰ τοῦ μετοχείου κτήματα ἀλλήλων ἴδια, καὶ ἀναπόσπαστα εἰς αἰῶνα τὸν ἅπαντα, ἐπὶ ῥητοῖς κεφαλαίοις ἐμπεριεχομένοις ἐν τῷ εἰρημένῳ σιγγιλίῳ. εἰς ἀνακαίνισιν οὖν τούτου, μικρὸν τὰ περὶ τῆς διοικήσεως μεταβαλλόντες, κατὰ τὸ κοινῇ ἤδη δόξαν περὶ πάντων τῶν σταυροπηγιακῶν μοναστηρίων, τὸ δὲ περὶ τοῦ ἐτησίου μισθοῦ τοῦ ἐν τῇ ῥηθείσῃ σχολῇ διδασκάλου προσθέντες, κατὰ θερμὴν ἔγγραφον αἴτησιν τοῦ ῥηθέντος αὐτῆς

διδασκάλου εὐλαβεστάτου ἐν ἱερεῦσιν οἰκονόμου, ἡμετέρου κατὰ πνεῦμα υἱοῦ ἀγαπητοῦ καὶ περιποθήτου κὺρ Κοσμᾶ, τῇ ἐγγράφῳ συναινέσει καὶ τοῦ εἰρημένου κατὰ τόπον ἀρχιερέως, γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων. τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν ἐν Ἰωαννίνοις μοναστήριον τοῦ προφήτου Ἠλιοὺ, καὶ τὸ ἐν Βλαχίᾳ μετόχειον αὐτοῦ τοῦ ἁγίου Ἰωάννου, ἀμφότερα μετὰ πάντων τῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτῶν, τῶν τε ἤδη ὄντων εἰσέπειτα προσγενησομένων ἄν, ὡς ἀνέκαθεν καὶ ἐξ ἀρχῆς οὕτω καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον, ὑπάρχωσιν εἰς αἰῶνα τὸν ἅπαντα, καὶ παρὰ πάντων γινώσκωνται, πατριαρχικὰ, σταυροπηγιακά. τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ θρόνου, ἐλεύθερα, ἀδούλωτα, ἀκαταπάτητα, καὶ ὅλως ἀνενόχλητα παρ' οὑτινοσοῦν προσώπου ἱερωμένου ἢ λαϊκοῦ. καὶ μηδεὶς τῶν κατὰ καιροὺς μητροπολιτῶν Ἰωαννίνων ἔχῃ ἄλλην τινὰ ἐξουσίαν ἐν τῷ μοναστηρίῳ τούτῳ τοῦ προφήτου Ἠλιοὺ, ἀλλ' ὅσον ἱερουργίαν μίαν καθ' ἕκαστον ἔτος ἐν αὐτῷ ἐπιτελεῖν ἐπ' εὐλογίᾳ τῶν ἐκεῖ μοναζόντων, καὶ λαμβάνειν ἐπὶ τούτῳ γρόσια τριάκοντα ἐτησίως. χειροτονεῖν καὶ τοὺς ἐν αὐτῷ ἱερᾶσθαι βουλομένους, λαμβάνων τὸ νενομισμένον καὶ ἔθιμον. ἔτι δὲ τὸ μοναστήριον τοῦτο τοῦ προφήτου Ἠλιοὺ, καὶ τὸ ῥηθὲν ἐν Βλαχίᾳ μετόχειον αὐτοῦ, μετὰ πάντων τῶν κατὰ καιροὺς κτημάτων καὶ ἀναθημάτων αὐτῶν ὑπάρχωσιν εἰς ἀεὶ προσωκειωμένα τῇ ῥηθείσῃ σχολῇ τοῦ Γκιούμα ἐν Ἰωαννίνοις, τοσοῦτον, ὥστε τό τε μοναστήριον αὐτὸ μετὰ τοῦ εἰρημένου μετοχείου καὶ πάντων τῶν κτημάτων αὐτῶν, καὶ αὐτὴν τὴν σχολὴν τοῦ Γκιούμα γινώσκεσθαι ἀλλήλων κτήματα ἴδια καὶ ἀναπόσπαστα εἰς ἀεί. καὶ ἐπὶ τῷ ῥηθέντι μοναστηρίῳ τοῦ προφήτου Ἠλιοὺ, ἀποκαθιστῶνται ἐπίτροποι, ὅ τε κατὰ καιροὺς διδάσκαλος τῆς σχολῆς, καὶ οἱ κατὰ καιροὺς ἐπίτροποι αὐτῆς, καὶ ἔτι δύω τῶν προκριτοτέρων Ἰωανινιτῶν χριστιανῶν, συναινοῦντος καὶ τοῦ διδασκάλου πρὸς ἐπίσκεψιν καὶ βοήθειαν τοῦ ἐν αὐτῷ διοριζομένου οἰκονόμου, ἀποκαθισταμένου κατ' ἔτος τῇ ἐκλογῇ τοῦ διδασκάλου ὡς πρῶτον, καὶ τῶν λοιπῶν ἐπιτρόπων τῆς σχολῆς, ἐπὶ δὲ τῇ ἐκλογῇ καὶ ἀποκαταστάσει τοῦ διδασκάλου, συναινῇ ἐπερωτώμενος, καὶ ἔχῃ γνώμην καὶ ὁ ἐν Βλαχίᾳ ἀρχιμανδρίτης τοῦ μετοχείου τοῦ ἁγίου Ἰωάννου. τοῦ δὲ ἀρχιμανδρίτου ἡ ἐκλογὴ γίνηται ἐκ τῶν ἐν τῷ ἱερῷ μοναστηρίῳ τοῦ προφήτου Ἠλιοὺ, ταὐτὸν εἰπεῖν τῇ σχολῇ ἱερομονάχων, ἐκλεγομένου ὑπὸ τοῦ διδασκάλου, καὶ τῶν ἐκεῖ εὐγενεστάτων ἀρχόντων, διὰ κοινῆς αὐτῶν ἀναφορᾶς, ἀναφερομένη καὶ ἐπικυρουμένη παρὰ τοῦ κατὰ καιροὺς οἰκουμενικοῦ πατριάρχου. ὁ δὲ ἀρχιμανδρίτης ἐκεῖνος, ἐπειδ' ἂν οὕτως ἐκλεχθῇ, καὶ ἐπικυρωθείη διὰ πατριαρχικοῦ γράμματος σταλθῇ ἐκεῖσε εἰς Βλαχίαν, μένει διὰ βίου ἐκεῖ ἐπιμελούμενος τῆς αὐξήσεως καὶ βελτιώσεως τοῦ εἰρημένου μοναστηρίου τοῦ ἁγίου Ἰωάννου, διάγων κατὰ τὸ μοναδικὸν αὐτοῦ ἐπάγγελμα, καὶ ἐκπέμπων

κατ' ἔτος τῷ διδασκάλῳ καὶ ἐπιτρόπῳ τῆς σχολῆς ἀκριβῆ καὶ καθαρὸν λογαριασμὸν, καὶ ἀνὰ γρόσια τριακόσια πρὸς ἀμειβήν τινα τῶν πόνων, μηδενὸς τολμῶντος ἀποβαλεῖν ἢ μετακινῆσαι αὐτὸν, ἐκτὸς εἰ μὴ φωραθείη τοῖς ἐπαινετοῖς ἤθεσιν ἀντιπράττων, ἢ κακῇ οἰκονομίᾳ χρώμενος περὶ τὸ ῥηθὲν μοναστήριον. καὶ μηδεὶς ἔχῃ ἄδειαν παροικεῖν ἢ κατοικεῖν ἐν τῷ ῥηθέντι κατὰ τὴν Βλαχίαν μοναστηρίῳ ἀμισθεὶ. φιλοτιμίαις ἢ δωρεαῖς ἢ δυσωπίαις. ἢ ἄλλου τινὸς τοιούτου χάριν, μηδ' ἂν τῶν ἐκεῖ διατριβόντων ἁγίων ἀρχιερέων βουληθῇ τις, ὡς εἰώθεσαν, ἀλλ' ὁ ἐν αὐτῷ κατὰ καιροὺς ἀρχιμανδρίτης ἐκδιδῷ ἐπὶ ἐνοικίοις τοὺς τοῦ μοναστηρίου τούτου οἰκίσκους, καὶ τὰ λοιπὰ αὐτοῦ κτήματα. οἱ δὲ κατὰ καιροὺς ἐπίτροποι τῆς ῥηθείσης σχολῆς ὁμοῦ μετὰ τοῦ διδασκάλου κατ' ἔτος λαμβάνωσι ἀκριβῆ καὶ καθαρὸν λογαριασμὸν τοῦ οἰκονόμου τοῦ ῥηθέντος μοναστηρίου τοῦ προφήτου Ἠλιοὺ. καὶ τὰ περιττεύοντα τῶν ἀπαραιτήτων ἐξόδων τοῦ μοναστηρίου τούτου καὶ τοῦ μετοχείου αὐτοῦ λαμβάνοντες, ἀναπληρῶσι τῷ διδασκάλῳ τὸν προσήκοντα ἐτήσιον μισθὸν, καὶ τὰ εἰς τροφὰς καὶ ἐνδυμασίας δέκα μαθητῶν, ἐκλεγομένων ἐν φόβῳ θεοῦ καὶ ἀφιλοπροσώπως, καὶ συντασσομένων ἐν τῷ καταλόγῳ τῶν ὑποτρόφων μαθητῶν τῆς σχολῆς, καὶ τοῦ ἱεροῦ τούτου μοναστηρίου, ὧν οἱ δοκιμώτεροι καὶ ἀξιώτεροι, εἰ βουληθεῖεν γενόμενοι ἱεροδιάκονοι καὶ ἱερομόναχοι προάγονται καὶ εἰς τὴν ὅλην οἰκονομίαν τοῦ ἱεροῦ τούτου μοναστηρίου, καὶ ἀποστέλωνται καὶ εἰς τὴν Βλαχίαν ἡγούμενοι καὶ ἀρχιμανδρῖται. ὑφαιρουμένων δὲ τῶν ἀπαραιτήτων μοναστηριακῶν ἐξόδων, καὶ τῶν εἰς μισθοὺς διδασκάλων καὶ εἰς χρείας τῶν ὑποτρόφων μαθητῶν, τὰ καταλειπόμενα, εἰ οὕτω τύχειεν, μένωσιν εἰς αὔξησιν καὶ διηνεκῆ σύστασιν τοῦ ῥηθέντος μοναστηρίου. καὶ ταῦτα μὲν τὰ περὶ τοῦ μοναστηρίου τούτου ἴδια, κοινὰ δὲ ὡς καὶ περὶ πάντων ἤδη τῶν σταυροπηγιακῶν μοναστηρίων ἀποφαινόμενα καὶ περὶ τούτου, ἵνα μνημονεύηται ἐν αὐτῷ τὸ κανονικὸν πατριαρχικὸν ὄνομα, ἔχοντος καὶ τὸ προνόμιον κατὰ πατριαρχικὴν φιλοτιμίαν, ὥστε τὸν κατὰ καιροὺς ἐν αὐτῷ ἡγούμενον ἐν ταῖς ἑορτασίμοις ἡμέραις φορεῖν ἐπ' ἐκκλησίας μανδύαν προχειριζόμενον καὶ πατερίτζαν. καὶ πρῶτον μὲν ὑπάρχῃ ἀπηλλαγμένον πάσης ἐξαρχικῆς ἐξουσίας καὶ δεσποτείας. δεύτερον δὲ ἀποδιδῷ εἰς μὲν τὸν κατὰ καιροὺς ἀρχιερέα τῶν Ἰωαννίνων γρόσια τριάκοντα ἐπὶ ἐτησίῳ ἱεροτελεστίᾳ ὡς ἄνω εἴρηται, εἰς δὲ τὸ Κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καθ' ἕκαστον ἔτος ἀπαραιτήτως λόγῳ ὑποταγῆς γρόσια διακόσια πεντήκοντα, καὶ λαμβάνῃ ἐξοφλητικὴν ἀπόδειξιν κατὰ τὸ ὕφος τοῦ ἐπαρχικοῦ, καὶ οὕτως ἀναλαβὸν τὸ ἀρχαῖον γεραρὸν τῆς σταυροπηγιακῆς ἀξίας προνόμιον, καὶ καλῶς διοικούμενον, ὡς μέλος γνήσιον τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ, ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου. ὁ ἐν αὐτῷ κατὰ καιροὺς ἡγούμενος, ὥσπερ οἱ ἀρχιερεῖς, οὕτω καὶ αὐτὸς γράφῃ ἀμέσως πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν, καὶ ἀξιῶται τῆς προσηκούσης

ὑπερασπίσεως ἐν ταῖς συμβαινούσαις χρείαις καὶ ὑποθέσεσι. τρίτον, διαφυλάττωνται καταγεγραμμένα ἐν τῷ διωρισμένῳ κώδικι τῆς Μεγάλης Ἐκκλησίας, ἅπαντα τὰ κτήματα καὶ ἀφιερώματα αὐτοῦ καὶ τὰ χρέη καὶ τὸ τοῦ ἡγουμένου ὄνομα. τέταρτον δὲ τὸ σιγίλλιον αὐτοῦ ἔχῃ μένειν ἀπαράτρεπτον καὶ ἀπαράβατον, μὴ δεόμενον ποτὲ ἀνανεώσεως καὶ ἐπικυρώσεως ἐκκλησιαστικῆς. πέμπτον, μηδεὶς τοῦ λοιποῦ γίγνηται ἐν αὐτῷ ἡγούμενος ἄνευ γράμματος πατριαρχικοῦ καὶ συνοδικοῦ. ἀλλ᾽ ἐπειδὰν ἕλωνται αὐτὸν γνώμῃ κοινῇ οἱ συγκοινοβιάται πατέρες, τότε ἀποστέληται παρ᾽ αὐτῶν κοινὴ ἐνυπόγραφος, καὶ ἐ(ν)σφράγιστος ἀναφορὰ περὶ τῆς τοιαύτης ἐκλογῆς πρὸς τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, καὶ οὕτω δι᾽ ἐκκλησιαστικοῦ γράμματος ἀποκαθιστῶται ὁ ἡγούμενος τοῦ μοναστηρίου τούτου, σημειουμένου καὶ τοῦ ὀνόματος αὐτοῦ ἐν τῷ ῥηθέντι κώδικι. ὀφείλων κατ᾽ ἔτος ἐξαποστέλλειν ἀκριβῆ ἐνυπόγραφον καὶ ἐνσφράγιστον καταγραφὴν τῶν τοῦ ἔτους ἐκείνου μοναστηριακῶν ἐσόδων καὶ ἐξόδων. ἕκτον, ἡ σφραγὶς τοῦ μοναστηρίου διαιρεθῇ εἰς τμήματα τέσσαρα καὶ ἡ μὲν λαβὴ παρακατατεθειμένη ὑπάρχῃ τῷ ἡγουμένῳ τὰ δὲ τέσσαρα τμήματα τέσσαρσι συγκοινοβιάταις πατράσιν ἐκλεγομένοις κοινῶς παρὰ πάντων τῶν συγκοινοβιατῶν πατέρων. ἕβδομον, οἱ ἐπιτετραμμένοι τὰ τέσσαρα τμήματα καὶ τὴν λαβὴν μὴ ἔχωσιν ἄδειαν καθ᾽ ἑαυτοὺς σφραγίζειν μοναστηριακὰς χρεωστικὰς ὁμολογίας, ἀλλ᾽ ἐπὶ παρουσίᾳ τοῦ προκριτοτέρου ἐν τοῖς συγκοινοβιάταις, ὑπογραφομένων κἀκείνων ἰδίαις χερσίν. αἱ δὲ μὴ κατὰ τὸν εἰρημένον τρόπον γεγραμμέναι καὶ ἐσφραγισμέναι ὁμολογίαι νομίζωνται μὴ τοῦ μοναστηρίου, ἀλλ᾽ ἴδιαι τῶν κατ᾽ ἰδίαν σφραγισάντων, καὶ ἐκεῖνοι ἐξ ἰδίων ἀποπληρῶσι τὰς ἐμπεριεχομένας ἐν ταῖς τοιαύταις ὁμολογίαις χρηματικὰς ποσότητας. οὗτοι δὲ δηλ: ὁ ἡγούμενος μετὰ τῶν τεσσάρων τῶν ἐπιτετραμμένων τὰ τῆς σφραγῖδος τμήματα, ἔχωσι πᾶσαν πληρεξουσιότητα τῆς Ἐκκλησίας, ἐπιτιμᾶν, σωφρονίζειν, ἀποβάλλειν ἐκ τῆς μονῆς τοὺς ἀτακτοῦντας, καὶ τοὺς ἐκνευροῦντας τοὺς μετερχομένους τὸ ἆθλον τῆς ἀσκήσεως, καὶ μὴ πειθομένους τελευταῖον διὰ κοινῆς αὐτῶν ἀναφορᾶς ἀναγγέ(λ)λειν τῇ Ἐκκλησίᾳ. ὄγδοον, μηδεὶς τοῦ μοναστηρίου τούτου δύνηται τοῦ λοιποῦ πωλεῖν μοναστηριακὸν ὑποστατικὸν, ἄνευ τῆς νομίμου εἰδήσεως τοῦ κατὰ καιρὸν οἰκουμενικοῦ πατριάρχου, εἰ μὴ μόνον τὰς κατ᾽ ἔτος ἐπικαρπίας καὶ τὰ γεννήματα καὶ τὰ μοναστηριακὰ θρέμματα, διὰ τὰς ἀναγκαίας αὐτῶν χρείας. ἔννατον, ἐπειδὰν ἐν χρείᾳ χειροτονίας γένωνται ἔχωσι προσκαλεῖν εἰς τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο μοναστήριον τὸν κατὰ καιροὺς μητροπολίτην Ἰωαννίνων ὡς ἀνωτέρω εἴρηται. δέκατον δὲ καὶ τελευταῖον, ὀφείλωσιν οἱ ἐν αὐτῷ συνασκούμενοι ὁσιώτατοι πατέρες φυλάττειν τὰ ἐν τῷ παρόντι ἐκτεθέντα ἀπαράτρεπτα καὶ ἀπαράβατα διὰ παντὸς, καὶ πείθεσθαι τῷ κατὰ καιροὺς ἡγουμένῳ, καὶ διάγειν σεμνῶς, εἰρηνικῶς, καὶ ἀμέμπτως κατὰ τὸν τύπον τοῦ μοναδικοῦ ἐπαγγέλματος, ἀφορῶντες πρὸς τὴν κοσμιότητα αὐτῶν καὶ τὴν κατὰ θεὸν δια-

γωγὴν καὶ πολιτείαν, καὶ πρὸς τὴν βελτίωσιν καὶ αὔξησιν τοῦ ἱεροῦ ἡμῶν τούτου σταυροπηγιακοῦ μοναστηρίου, ἑπόμενοι τῷ θεοφιλεῖ σκοπῷ τῆς Ἐκκλησίας τῆς ἀγρύπνως προνοούσης περὶ τῆς εὐσταθείας τῶν ὑποκειμένων αὐτῇ σταυροπηγιακῶν ἱερῶν μοναστηρίων, καὶ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις διαφυλάττειν τὴν ἀρχαίαν διατύπωσιν ἀπαράτρεπτον. ὅστις δὲ καὶ ὁποῖος τῶν χριστιανῶν ἱερωμένος ἢ λαϊκὸς, ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, τολμήσαι παραβῆναι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι νομίμως καὶ κανονικῶς ἀποφανθέντα, καὶ ἀνατρέψαι τι τῶν ἀνωτέρω καταγεγραμμένων, ὁ τοιοῦτος ἀφωρισμένος εἴη, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος, καὶ ὑπόδικος, καὶ ἔνοχος τῷ αἰωνίῳ πυρὶ τῆς Γεέννης. ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο, καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν, συνοδικὸν σιγγιλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδικι τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, τῷ ἐπ᾽ αὐτῷ τούτῳ διορισθέντι, καὶ ἐδόθη εἰς τὸ ῥηθὲν μοναστήριον. ἐν ἔτει σωτηρίῳ χιλιοστῷ, ἑπτακοσιοστῷ, ἐνενηκοστῷ, ἑβδόμῳ, κατὰ μῆνα Νοέμβριον, ἐπὶ νεμήσεως πρώτης :∼

(Διὰ τῆς πατριαρχικῆς χειρὸς τό)

+ ***Γρηγόριος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.***

(Αἱ ὑπογραφαὶ τῶν συνοδικῶν).

+ Ὁ Ἐφέσου Σαμουήλ : —
+ Ὁ Ἡρακλείας Μελέτιος : —
+ Ὁ Κυζίκου Ἰωακείμ +
+ Ὁ Νικομηδείας Ἀθανάσιος.
+ Ὁ Νικαίας Καλλίνικος.
+ Ὁ Χαλκηδόνος Ἱερεμίας .˙.
+ Ὁ Δέρκων Μακάριος .˙.
+ Ὁ Θεσσαλονίκης Γεράσιμος : —
+ Ὁ Προύσης Ἄνθιμος :
+ Ὁ Νεοκαισαρείας Ἠσαΐας : +
+ Ὁ Λαρίσσης Διονύσιος +
+ Ὁ Εὐρίπου Ἱερόθεος : +

Β΄.

ΔΙΑΦΟΡΑ ΓΡΑΜΜΑΤΑ.

20.

1444, *Μηνὶ Φεβρουαρίῳ, ἰνδ. 7.*

(Νόθον ἀργυρόβουλλον. Χάρτης μονόφυλλος, μήκ. 0.305, πλ. 0.224. Τὸ πρῶτον γράμμα, τὸ Ε, μέγα καὶ ἔγκοσμον. Ἡ ὑπογραφὴ τοῦ δεσπότου Κωνσταντίνου διὰ γραμμάτων παχέων ὡσεὶ ὁ τοῦ ἐγ-

γράφου κατασκευαστὴς ἀποδίδωσι γνήσιον τοῦ δεσπότου αὐτόγραφον· ὅρα τὸ ἀπέναντι πανομοιότυπον αὐτῆς. Ἡ γραφὴ τοῦ κειμένου καθαρὰ καὶ κανονική. Κατασκευὴ τέλους τοῦ 17-ου ἢ τῆς ἀρχῆς τοῦ 18-ου αἰῶνος. Γραμμαὶ 22 μετὰ τῆς διστίχου ἐπιγραφῆς. Εὑρίσκετο πρότερον παρὰ τῷ Ἰουλίῳ Τυπάλδῳ καὶ κατόπιν παρὰ τῷ Bourée ἐν Ἀθήναις, ὅθεν ἀντεγράφη ὑπὸ C. Hopf καὶ τύποις ἐξεδόθη τὸ πρῶτον ἀκριβῶς πως ὑπὸ Miklosich-Müller, Acta et diplomata graeca medii aevi, τ. 3, σ. 258—259. Μετεξέδωκεν Ἀ. Μηλιαράκις, Οἰκογένεια Μαμωνᾶ, σ. 108—109. Περὶ τῆς προτέρας τοῦ ἐγγράφου τύχης ὅρα Π. Χιώτου Σειρὰν ἱστορικῶν ἀπομνημονευμάτων, τ. 3, σ. 133).

Ἐπιδὴ ὁ κὺρ Δημήτριος Μαμωνᾶς ὁ Γρηγορᾶς ἐπροθύμισεν μὲ πολὴν ἐπιμέλειαν καὶ κα= || λὴν προαίρεσιν, εἰς τὴν τοῦ Πρηντζιπάτου, ἀνακάτωσιν, καὶ σύγχησιν, καὶ εἰς ἄλλα πολλὰ αὐ= || θεντικὰ ἀγωνίσματα, Ὁμοίως μὲ προθυμίαν τελειωνοντάς τα, ὡσὰν καλὸς καὶ πιστὸς δοῦλος. || Εἰς τοῦτο λοιπὸν ὑπόσχεται διὰ νὰ δουλέυῃ εἰς ὅλαις ταῖς χρίαις τὴν Βασιλείαν μας, μὲ καλὴν || καὶ καθαρὰν πίστην καὶ ταπεινότητα. Ὅθεν ὤντας τοιοῦτος ὑποδέχεται τοῦτον ἡ Βασιλεί= || α μου, ὡσὰν ὁ ἄνωθεν λόγος ἐφανέρωσεν, τὸν παρόντα ἀργυρόβουλον, δεδωμένον εἰς ἔλευ= || θερίαν τούτου; Διὸ ἀποφασίζει καθῶς κάτωθεν περιέχει, νὰ ἐξουσιάζῃ ἀπὸ τώρα καὶ ἔμ= || προσθεν, ὁ αὐτὸς κὺρ Δημήτριος Μαμωνᾶς ὁ Γρηγορᾶς, ὁσπύτιον ὁποῦ εὑρίσκεται εἰς τὸ Ἕλος || ἀντάμα μὲ τὸν Πύργον του καὶ τὸ χωρίον Πρίνικον, καὶ τὴν περιοχήν του ὅλην, ἤγουν ὅσα κρα= || τεῖ καὶ νομέυῃ τὸ αὐτὸ χωρίον. ἢ ἐνγκάτοικοι ἔιναι, ἢ ἐλεύθεροι, ἢ ἀπὸ γένους ἢ καὶ ἀλ= || λεωτρόπος εὑρίσκονται ἐκεῖ. νὰ ἔχει νὰ λαμβάνῃ κάθε χρόνον εἰς κυβέρνησίν του τὰ δέ= || κατα καὶ ἤτοι ἄλον χρεωστοῦν διὰ τὴν ἀυθεντίαν, ἢ διὰ δούλευσιν ἢ διὰ δωσήματα. Ὁμόιως || νὰ ἔχει τὰ πάντα ὅσα τοῦ απαρθενίζουν, καὶ ἀπὸ ὅλλα ἐκεῖνα ὁποῦ τοῦ τυχένουν νὰ= || κερδένῃ. καὶ ναπέρνῃ ἀπὸ τὰ ἠσοδήματα καθῶς τοῦ ἐδώθη διὰ γράμματος ἀπὸ ἴδιον || γγενεράλε τῆς Βασιλείας μου κυριον Ἰωάννην Φραγγόπουλον. μὴν ἠμπορῶντας τινὰς ναν τοῦ || δώσῃ καμίαν πείραξιν καὶ ἐνώχλησιν, ἀλλ᾽ οὐδὲ να τὸν παρασαλεύσῃ εἰς τὴν ἐξουσίαν καὶ



νομὴν || τῶν ἄνωθεν πραγμάτων. μόνον νὰ εἶναι ἀπείραστος. καὶ διαφεντευόμενος μὲ τὴν δύναμιν || τοῦ παρόντος ἀργυροβούλου ὁρισμὸς τῆς βασιλέιας μου. μὲ ἐξουσίαν τοῦ ἐδώθησαν τὰ τοιαῦτα || κατὰ τὸν ἄνωθεν γεγραμμένον τρόπον. δουλέυοντας ἀυτὸς ἕτοιμα καὶ πρόθυμα τὴν βασιλέιαν μας κατὰ || τὴν ὑποταγὴν καὶ ἐυπήθειαν ὁποῦ ὁ ἀυτὸς ἐδέιχθη εἰς τὴν δουλευσὶν μας. Διὰ τοῦτο πρὸς || ἀσφάλειαν ἀυτοῦ ἔγινεν εἰς ἀυτὸν ὁπαρὸν ἀργυρόβουλος ὁρισμὸς τῆς βασιλείας μου: ~

Ἐδώθη κατὰ Μῆνα, Φευρουάριον Ἰνδικτιῶνος -ζ- ςγνβ. 6952 — εἰς τὸ ὁποῖον καὶ ἡ βασιλέια μου || ἐξουσιάζει.

+ Κωνσταντίνος ἐν χω̄ τῷ Θω̄ εὐσεβῆς
Δεσπότης Παλαιολόγος ὁ πορφυρογέννητος.

21.

1641, *Μηνὶ Μαρτίῳ.*

(Χάρτης δίφυλλος, μήκους 0.258, πλ. 0.195. Αὐτόγραφος ἐπιστολὴ Φραγκίσκου Ἀρκούδη).

Τῷ ἐξοχωτάτῳ καὶ αἰδεσιμωτάτῳ κυρίῳ κυρίῳ Φραγκίσκῳ καρδινάλει τῷ Βαρβερινῷ χαίρειν.

Μικρὰ τὰ ἡμέτερα, ὦ ἔμψυχος φιλανθρωπίας εἰκών, πρός τε τὴν σὴν ἀξίαν, πρός τε τοὐμὸν χρέος ἀντεξεταζόμενα. ὥστε πολλῷ ἧττω ἐστὶν ἢ ἀποδοχῆς ἀξιοῦσθαι τοσαύτης, ὅσης ἡμᾶς ἠξίωσας τοῖς προσφιλεστάτοις σου γράμμασιν. ἡμεῖς γὰρ τῶν χαμαὶ ἐρχομένων ὄντες, οὐκ ἐπιγινώσκομεν τοσούτων, ὧν παρὰ σοῦ εὖ πάσχομεν, τὴν ἀξίαν: πλήν γε ὑπὲρ τούτων πλείστην ὅσην οἴδαμέν σοι χάριν. ἄλλως δήπουθεν ἄπορον πάντως ἡμῖν πόρον ὁποιας τινοσοῦν ἀμοιβῆς ἐξευρεῖν. καὶ ταῦτα μὲν δὴ ταῦτα. Πῶς δὲ νῦν συνείρων ὅπερ φιλικῶς ἔπαθον, θωπείας οὐ παρασχοίην ὑπόνοιαν; ἀλλὰ μάρτυρα ποιοῦμαι τὸν ἔρωτα, ὃν φιλία ὡς αὐτῆς πρωταγωνιστὴν πρεσβεύει καὶ πρύτανιν, ὡς ἀληθείας ἔχεται ὁ λόγος. δεύτερος ἤδη μὴν καὶ πρός, ἀφ᾽ οὗ κατάῤῥους τις ψυχρότατος αἰφνιδίως εἰσπεσών μοι, τὸν δεξιόν μου ὦμον καὶ τὸν βραχίονα σὺν τῇ χειρὶ πάνυ σφοδρῶς ἠνόχλησε. κίνδυνος δ᾽ ἠπειλεῖτό μοι, ὡς τῶν ἰατρῶν οἱ παῖδες ἔκρινον, μήπως πωρωθεῖσα ἡ ἐνδελεχοῦσα καὶ διηνεκῶς καταῤῥέουσα ἀπὸ τοῦ ἐγκεφάλου ψυχρὰ ὕλη, τοῖς νεύροις διαλυμήνηται, καὶ ἡμίξηρον τὸ μέλος ἐργάσηται. διὸ καὶ σχολὴν ἄγειν ἀπὸ τῶν βιβλίων καὶ κλινήρη με εἶναι κατηνάγκασεν. ἀλλὰ τὸ σὸν κομισάμενος γράμμα ἐλαφηβολιῶνος δεκάτῃ φθίνοντος, τὸ τῶν φιλτάτων μοι μελιττῶν ἐπιφερόμενον τὴν σφραγῖδα, καὶ τῷ φιλανθρωποτάτῳ τῆς ἱερᾶς σου χειρὸς χαρακτῆρι ὁλοσχερῶς αὐτοσχεδιασθέν, εὐθὺς ἐῤῥάϊσα. ἡ γὰρ ὑπέρθερμος τῆς εὐ-

μενεστάτης σου διαθέσεως αὔρα εἰς ἐμὲ πνεύσασα, τὴν ψυχρὰν καὶ ὀλέθριον τοῦ κατάῤῥου καὶ κινδύνου φορὰν οὕτως ἐπέσχε, καὶ τὸ δεινὸν ἀνεκούφισεν, ὥστε τὸ ἡμίξηρον σχεδὸν τοῦ βραχίονος καὶ τὸ ἀκίνητον τῆς χειρὸς εἰς τὴν τῶν γραμμάτων τούτων διασκευὴν ἐζώωσέ τε καὶ ἀνεκτήσατο. καί μοι ἀπὸ κλίνης παρεχώρησε τοσαῦτα ἀντεπιστεῖλαί σοι. Ὁρᾷς, ὦ σεμνὴ καὶ ἱερὰ κεφαλή, τῆς εὐνουστάτης σου προσρήσεως τὴν ἰσχύν; θεός, τὸ τῆς παροιμίας, ἡμῖν ἀνεφάνης διὰ τῆς ἐπιστολῆς. ἣν οὐκ ἀστόχως ὁ ἔρως ὑπηγόρευσέ μοι εὐθύς, Ἑλένης καλέσαι κρατῆρα, ὅστις (ἐπειδὴ τούτῳ ἡ τοῦ Διὸς παῖς ἐν τοῖς Μενελάου δάκρυσι φαρμακεύει καθ' Ὅμηρον τὰς ψυχάς) οὐ πόα τις ἴσως ἦν, οὐδ' Αἰγυπτία τέχνη, νηπενθές, ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων πόμα σκευάζουσα, ἀλλὰ καί τις λόγος ἡδὺς καὶ καίριος, ὡς τὸ σὸν γράμμα, φαρμάκου δίκην θεραπεῦσαι πάθη δυνάμενος. ἀπάγει δὲ εἰς Αἴγυπτον τὸν μῦθον ἡ ποίησις, ἵνα τὴν μητέρα τῶν σοφῶν λόγων αἰνίξηται. Οὕτω τοίνυν τοῦ ἀπειληθέντος κινδύνου ἐπισχεθέντος τὰ νῦν, εἴθε καὶ εἰς τοὐπιὸν τοιαύτη γένοιτό μοι παραμυθία, τὸ δέξασθαι τῆς φιλτάτης σου ἐμοὶ κεφαλῆς γράμματα, τὸ τιλμαφέστατον τῶν ἀπὸ Ῥώμης ἀγώγιμον, ὅπως ἀνασφήλω καθάπαξ. ἐξ ὑμῶν γὰρ ὅλως ἀρτώμεθα, καὶ ὑμᾶς ὅλῃ τῇ μνήμῃ, ὅλῃ τε τῇ ψυχῇ οὐχ ἧττον πνέομεν, ἢ τὸν ψυχρὸν τοῦτον ἀέρα τῷ στόματι. Εἶ δὲ τὰ τῆς νόσου εἰς τὸ βέλτιον οὐ περισταίη μοι, ἄλλοσε (ἥν μοι τοῦτο χαρίσαιο) ἢ εἰς τὴν φίλην ἰτέον μοι πατρίδα, ἵνα τῆς μητρυιᾶς ταύτης ἀποφύγω τὴν ἀπήνειαν, κἀκείνη ὡς ἀληθὴς μήτηρ ἐν τοῖς αὐτοῖς κόλποις περιπτύξασα θάλψῃ καὶ ἀνακαλέσηται. πλὴν ἀλλὰ σώζειν φίλους Φραγκίσκος ὁ Βαρβερινὸς καὶ φύσιν ἔχει καὶ τύχην καὶ τέχνην. Τῇ ἀφηγήσει τῶν πόνων Σαλμασίου καὶ Ἱλεϊνσίου, καὶ τῇ ἐμμούσῳ πρὸς σφᾶς ἁμίλλῃ πάνυ μὲν ἥσθην. οὐ μὴν δὲ καὶ τὸ τοῦ Ἀλλατίου φιλόπονον περὶ τὸν θεῖον Νεῖλον ἀπεδεξάμην. ὅτι τὸ πολυμαθὲς τοῦ ἀνδρὸς καὶ ἡ αὐτοῦ ἄσκησις πρὸς τοσοῦτον πόνον ἐξαρκέσει καὶ τὴν ἐμὴν ἠλαττωμένην συνεισφορὰν ἀποπληρώσει. καὶ ὑμεῖς δ' οὕτω γράφοντες, ἡμᾶς εἰς τοὺς ἠργμένους μὲν περὶ τὸν Στουδίτην Θεόδωρον, καθυφειμένους δὲ διὰ τὴν ἐπελθοῦσαν νόσον ἱδρῶτας, σοφῶς μυωπίζετε, καὶ τὸν σπεύδοντα τὸν ἐν τῇ παροιμίᾳ ἐποτρύνετε. τῶν ἐν στήλαις, ἢ ἐν ἐπιταφίοις πλαξὶν, ἢ ἐν ἀγαλμάτων καθιδρύσεσιν, ἢ ἐν θεῶν ἱερώσεσιν ἐπιγραμμάτων τὴν ἔρευναν οὐκ ἀπολείψω. πλὴν, ὡς ἔοικε, σπανίζει τούτων τὰ ἐγγὺς καὶ ἀοίκητα ὄρη ταῦτα. οὐ γὰρ Μουσῶν, ἢ θεῶν, ἢ ἡρώων ἐνδιαιτήματά, ἀλλὰ νέων Κυκλώπων, ἢ μισανθρώπων καὶ ἀνθρωποφάγων θηρίων σπήλαια, ὡς οἶμαι, ταῦτα πάλαι καθέστηκε. τὰ ὀλίγα ταυτὶ τῶν ἰχθύων τεταριχευμένα ᾠὰ, ἤτοι ᾠοταρίχη, ὡς δῶρον ἀφ' Ἑλλάδος πεμφθέντα μοι, οὐ μὴν δὲ καὶ τὰ ὀλίγα ταυτὶ τῶν ἀπίων μῆλα, ἅπερ οἷα γῆς ταύτης καρποὶ διὰ τὴν ἄκραν ἐνταῦθα ψυχρότητα ἔτι ἄσηπτοι διαμένουσιν, πρὸς τὴν σὴν ἐξοχότητα ὡς δασμόν τινα τῇ τεσσαρακοστῇ ἁρμόδιον, ἀναπέμπω. αὐτὸς

εὐμενῶς καὶ μεγαλοπρεπῶς κατὰ τὸ σοὶ εἰωθὸς τὰ μικρὰ ταῦτα δέχου, καὶ ἡμῶν μέμνησο· εὐδαιμονῶν ἐσαεὶ καὶ ἐῤῥωμένος διαβιώῃς. ὦ ἐξοχώτατον πορφύρας ἄνθος. Νούσκοθεν νουμηνίᾳ Μουνυχιῶνος. ͵αχμα.

Τῆς αἰδεσιμωτάτης σου ἐξοχότητος

μάλιστα ὑπόχρεως, ἐλάχιστος δοῦλος
Φραγκίσκος ὁ Ἀρκούδιος ἐπίσκοπος Νούσκου.

22.

(Χάρτης δίφυλλος, μήκ. 0.275, πλ. 0.205. Αὐτόγραφος ἐπιστολὴ Φραγκίσκου Γοτζαδίνου πρὸς τὸν Ῥώμης πάπαν Οὐρβανὸν τὸν Η').

Μακαριώτατε πάτερ.

Εικοστὸν ἤδη ἔτος τουτὶ παρῴχηκε, ἀφ' οὗ χαίρειν εἰπὼν τῇ ἐναγκαμένῃ ἵνα τὰς τῶν Ἀγαρηνῶν χεῖρας ἐκφύγω. πολλάκις ὑπ' αὐτῶν διωχθεὶς, οὐκ' ὀλιγάκις συλληφθεὶς, καὶ δὶς πραθεὶς, εἰς Ῥώμην τὴν κοινὴν πατρίδα, καὶ πάνδημον ξενῶνα κατήντησα: Ἔνθα κἀγὼ ἐμφύτῳ τινὶ προθυμίᾳ φερόμενος ἐπὶ τὸ γεύσασθαι τῶν τῆς ἀττικοεργοῦς μελίττης φιλοπονημάτων, τύχῃ δὲ μᾶλλον χρησάμενος, οὐ μόνον ἄκρῳ δακτύλῳ τούτων ἐγευσάμην, ἀλλ' ἀνέδην, καὶ κατὰ κόρον ἐνεπλήσθην. καὶ πρῶτον μὲν ἡνίκα ἐπιστατεύων ἦσθα τοῦ Ἑλληνομουσείου, πρὸ τοῦ εἰς τοῦτον σε ἀρθῆναι τὸν θρόνον. ἔπειτα μετεωρισθεὶς εἰς ὃ νῦν ἀντίθεον ἀξίωμα περιαστράπτεις, τὰς τοῦ ἀνεψιοῦ, τοῦ ἐξοχωτάτου Φραγκίσκου φημί, ἰσαρίθμους μελίσσας μελιττουργεῖν αὖθις προεμηθεύσω: καὶ οὕτω γέγονέ μοι καὶ μὴ βουλομένῳ, τελέως ἐκμυζῆσαι τὸ Ἡμίττιον τῆς Ἑλληνίδος γλώσσης νέκταρ. Ἐπανακάμπτειν τοίνυν εἰς τὴν θρέψασαν μὴ δυνάμενος, διὰ τὸ τὸν ἐμὸν πατέρα, οὐ μετρίως τὰ τῶν Ἀγαρηνῶν λυμήνασθαι, κἀκεῖθεν εἰς Ἰταλίαν διαδράντα, ἐντεῦθεν αὖ πάλιν πεντάκις ἐκστρατεῦσαι: καὶ τὰ μὲν ὁρῶν ἐμαυτὸν ἐν τοσαύτῃ πραγμάτων περιστάσει, χρημάτων ἄνευ, καὶ πατρίδος ἐξωσμένον, τὰ δ' ἀπορῶν ὅπῃ προσφύγω, διὰ τὸ νῦν διεφθαρμένον τοῦ αἰῶνος, σοὶ μετά γε θεὸν προσδραμεῖν, καὶ τοῖς ποσί σου προσπεσεῖν, τῷ καὶ τούτου τὰ τῆς οἰκουμένης ἐμπιστευθέντι πηδάλια διενοησάμην, ἵνα καθάπερ μέχρι τούτου τήν τε ψυχικὴν, καὶ σωματικὴν τροφὴν παρὰ τῆς πλουσιοπαρόχου σου χειρὸς διέγνων, οὕτω καὶ τὸν μετέπειτα βίον διὰ σοῦ σωζόμενον, εἰς τῶν κατορθωμάτων σου τοὺς ἐπαίνους ἐξαναλώσω. τοιαύταις ἔτι φροντίσι κυμαινομένῳ μοι ὁ τῆς Κρήτης ἀρχιεπίσκοπος διδάσκαλον θεολογικῆς ἐπιστήμης ἐξερευνῶν τοῦ ὑπ' αὐτοῦ νεωστὶ οἰκοδομηθέντος φροντιστηρίου ἀπαγγέλλεται: τῆς δὲ ἱερᾶς σου κεφαλῆς συννέυσει εἰς τὸν τοιοῦτον βαθμὸν ἀνήχθην ἐγώ. ὅθεν ἥκω σοι νῦν οὐ τὰ πρὸς τὸ ζῆν συντείνοντα ἐξαιτήσων, ἀλλ' ὑπὲρ ὧν τοὺς ἀναξίους ἔφθης ἀξιῶσαι εὐχαριστήσων. ἐπεὶ δὲ ἡ παρὰ σοῦ πρὸς ἡμᾶς πρόνοια, εἰς

μακρὰς πλάνας καὶ ὑπερορίους στρατέιας ἐπαναγκάζει, ἐφοδίου τινός, καὶ μάλα ἀδροῦ δεομένους ἴσθι. ἐμμενετέον δὲ τοῖς ἐλευθερίοις σου θεσπίσμασι. σοὶ γὰρ ὡς ἐπ' ἱερᾷ ἀγκύρᾳ ἐπισαλεύει νῦν τἀμά. ἧς ἀποσχοινισθεὶς οὐκ εἰς μακρὰν ναυαγήσω τὸ σύνολον.

Ἔρρωσο, καὶ ὑπὲρ τὰς τοῦ Νέστορος Ὀλυμπιάδας Ἐνδυμίωνός τε, καὶ Ἐπιμενίδου ζώης.

Εἰς Οὐρβανὸν τὸν .η. ἄκρον Ἀρχιερέα, σοφῶς τὰ τῆς εἰρήνης διοικήσαντα, λοιμὸν δὲ, καὶ λιμὸν εὐδαιμόνως τῶν τῆς ἐκκλησίας ὅρων ἐξορίσαντα.

ΕΠΙΓΡΑΜΜΑΤΑ.

Ὦ σοφίης ἀπλέτου, πασέων ἀρετῶν τε δοχεῖον,
Ὄλβιε Οὐρβανὲ Πετροκαθεδροδόχε,
Πῶς τρισσῶν τεράτων ἀνυπόστατον εὔνασας οἶστρον,
Ἄστεα Ἰταλίης ἐξεπιβοσκομένων;
Λοιμοῦ, καὶ λιμοῦ, πτολέμοιό τε ἐγχεσιμάργου
Αὖδαε μὴ κεύθης, οἶδότι πάντα λέγε:
Εἰ κεύθεις δὲ μελισσάων τριὰς αὐτὸ λαλήσει,
Ὅττι τριὰς, τεράτων ἠντίασε τριάδι.

ἌΛΛΟ.

Τείρεα δισσὰ βλέπω περιλαμπέα ἔκγονα Φοίβου,
Αὐτὰρ ποῦ κρύπτεται ἡμερίων;
Φραγκίσκον κ' Ἀντώνιον ἄμφω πορφυρολαμπεῖς.
Οὐρβανὸς τελέθει τῶνδε ὁ φεγγοδότης.
Ἀνδράσιν ὃς μερόπεσσιν ἐπηύγασεν ὄλβιον ἦμαρ
Πύθων' οὐχ' ἕνα νῦν, τρισνὸν ὅμως ὀλέσας.

ἌΛΛΟ ἸΑΜΒΕΙ͂ΟΝ

Ἔσωσε τὰ πρὶν τὴν ὑφήλιον πλάκα
λύσασα δεσμοὺς ἡ θεάνθρωπος φύσις,
δεσμοὺς ἀδέσμους παρθενικῆς γαστέρος.
τύραννος ἦμος νερτέρων στρατευμάτων,
λήθης ἀπ' ἀκτῶν ταρταρόσσυτον μένος,
τρισσῶν ἀφῆκε Κερβέρου βροτοκτόνου
κακῶν συνεύνων τῶν Ἐριννύων: ὅπως
βροτοῖσιν αἴφνης δαιδαλογλώσσοις μόρον

ἄγωσι πικρόν, κἀξερημῶσι χθόνα.
Χριστὸς γὰρ εὐθὺς ταρτάρου ἐς πυθμένας
ῥίψεν, κεραυνοῖς αἰθαλώσας τὸ θράσος,
διπλαῖς τε σειραῖς ἔσχε κεκρατημένας.
νῦν δ' αὖ λαθραίως ἐκφαγοῦσαι τὰς πέδας
πλήσθησαν αἴφνης Ἰταλικῶν αἱμάτων:
χῶσαν δὲ τύμβους τὰς ὁλοκλήρους πόλεις,
αὐτῆς τε Ῥώμης τὰ προπύργια τρέμον
ἄφυκτον ὁρμὴν τῶν ἀκάμπτων θηρίων.
αὐτὰρ πάτερ ὦ τρισόλβιον κάρα.
ὡς ἀντὶ Χριστοῦ τὴν κάτω Ἐκκλησίαν
καλῶς διοικῶν, τοὺς δρακοντίους γόνους
ἔδησας αὖθις παγιωτέραις πάγαις.
εὐθὺς δ' ἄνωθεν ἡ θεόπεμπτος χάρις
ἡμῖν ἐπέμφθη τοῖς ἀναξίοις ὅλως,
ἔρως ὁ κοινός, ἡ βροτῶν σωτηρία.
Τέλος τῷ δὲ θεῷ δόξα καὶ αἶνος.

Τῷ παναγιωτάτῳ πατρὶ

Οὐρβανῷ τῷ ὀγδόῳ

διὰ

Φραγκίσκον τὸν Γοτζαδῖνον.

23.

1663, *Μηνὶ Ἀπριλίῳ.*

(Χάρτης δίφυλλος, μήκ. 0.27, πλ. 0.20. Αὐτόγραφος ἐπιστολὴ πεμφθεῖσα κατὰ τὴν ἐπιγραφήν: Al Rev^mo^: Pre Abbe Sigo: e Prone: mio Collmo: il P. D. Francesco Sondi. — I. Secondo — Gubbio).

Αλέξανδρος Μανασαγγύος τῶ ἑαυτοῦ Διδασκάλω ἐν τῇ Ευγουβιωτῇ Κανονικῇ ἀξιοτάτω ἡμῶν ἡγέμονι. ἐυπραττεῖν.

Ὄγδους τῶν φυσικῶν ἶδον κατὰ Αριστοτέλη, διορθοῦντος Πατρὸς Lουκατελλοῦ, σοι τε ὡς πᾶσι ἐν ταύτη ἐργασίᾳ φανεροῦ. συμβέβηκε δὲ νῦν ἐν τῶ διελθεῖν ὧδε ὁ καθολικὸς ἡμῶν ἡγέμων, μένει γε μὲν, ὄισθὰ συ. συναθροίσαι ἐν τῇ Φλουρεντίᾳ τὸν σύνοδον ἐπὶ τὴν δίαιταν. ἐνέβαλ' ὄυν εἰς τὴν χεῖρα ἀυτοῦ τὸν φόρτον, τρία ἐτῆ μαλαχῶς ἔχων, προεκρίθη μὲν τις Καπόυνος κληθεὶς, ἄυτος τε σοι, μίκρας ἀκοῆς, ὅν Lαγκιός ὁ πρωτοδιοικητὴς ἀρχηγὸς ἠδὴ ἀπεπτύσε. Ἐν χρόνω τουτῶ περὶ τῶν ἑλληνικῶν σπου-

δάσω μᾶλλον, ἵνα ἐν μέλλοντι ἐνιαυτῷ τι πράξειν ἐν ἰδίωματι τουτῷ σου παροντος, ἐπικαλοῦμαι σε οὖν ἐπὶ τουτοῦ. καὶ ἡδέως ἄν σου ἀκούσαιμι ἀντιγράφαντος. νῦν ὀυκ ἔχον ἄλλον σοι εἰμὴ πολεμικὰ διηγεῖσθαι. ἔῤῥωσο ἐτεῖ ἀπὸ τοῦ Χριστοῦ παθόντος χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ τρίτῳ θαργελιῶνος πέμπτη φθίνοντος.

24.

(Χάρτης μονόφυλλος, μήκ. 0.192, πλ. 0.132. Ἀπόκρισις ἀνυπόγραφος εἰς τὸ ὑπ' ἀριθ. 23 γράμμα).

Ἀρέσκομαι ἀκούων, ὅτι τὰ σὰ ἐπιτηδεύματα βουδρομοῦσι. ἀλλ' ὅμως οὔτω δεῖ σε τὰ μαθήματα διαθεῖν, ὡς' οὐ μόνον τῆς γνώσεως, ἀλλὰ καὶ τῆς ἕξεως τυχεῖν. Επαινῶ δέ σε, τοῦ φιλοτίμως μελετᾶν τὴν ἑλληνικὴν παιδείαν, ὡς δυναμένην παρέχειν ταῖς ἅπασιν ἐπιστήμαις μεγίστην σαφήνειαν. Επεὶ οὖν δέδοχθαί σοί τι πράξειν ἐν ἰδιώματι τούτῳ, ἵνα πώποτέ μου πάροντος, ἀπαγγέλῃς, εὖ ἴσθι, ὅτι μηδέποτέ μοι πορίσεις ἥδιον ἄκουσμα τῆς σῆς παιδευτικῆς ἐπιδόσεως. Τὸν ἄνθρωπον ὄιδα, περὶ οὗ μέμνησαι· οὐκ ἀνάξιαι δὲ τῆς τιμῆς ἂν ἦσαν αὐτοῦ διδασκαλίαι (ὀυ γὰρ τύχοντες γεγένηνται) ἐάν, ὡς περὶ τῆς διδάξεως, οὕτως περὶ τῆς εὐφημίας ἀυτὸς πεφιλοπονήκῃ. Εν ἀλλοτρίῳ γοῦν κινδύνῳ ἐυλάβειαν ποιητέον. ἔῤῥ.

25.

1664.

(Χάρτης δίφυλλος, μήκ. 0.293, πλ. 0.208. Αὐτόγραφος ἐπιστολὴ Ἀλεξάνδρου Μανασαγγύου, πεμφθεῖσα κατὰ τὴν ἐπιγραφήν: Al Rev^{mo}: Pr̄e. Abb^{e}: Sig^{e} e Prone mio Col^{mo}: il P. D. Francesco Sondi. — Letter greche e spagniole. — S. Pietro in Vincoli.).

Ἀλέξανδρος ὁ Μαθητής τῷ ἑαυτοῦ Διδάσκάλῳ, νῦν παρὰ τον Ἅγιον Πέτρον πρὸς δέσμους κοινοβιαρχῷ ἐυπραττεῖν.

Τὰς μοῦ παροῦσας ἐπιστόλας θαυμάσῃς ἰδών, ἐλέγχων ἐκ τοῦ χρονοῦ διαστολῆς τυχόν, ἢ τῆς ἑλληνικῆς γλωσσῆς, ἢ τῆς περὶ ταύτης σου παιδείας ἀμνήμονα, ἀλλ' ὄυκ ὀυτώς, οἶδας γὰρ πρῶτον δεῖ μὲ τὰ φυσικὰ μαθεῖν, καὶ μετὰ ταῦτα πρὸς τὰ ἄλλα. νῦν ὀῦν ὅτι ἀῦτα ἡσύχαζει, κἀὶ μετὰ τὸ ἀναστρέψαι ἀπὸ τῆς Κανονικῆς τοῦ Ρενοῦ λεγομένης, ὀῦ ὀκτῶ ἡμέρας ἔμενον σὺν τῶ ἡμῶν Ἄρχοντι, ἀὐτός γε μένει δὲ. λαμβάν' ὀῦν τὸν καιρὸν ἐπὶ τῶ λελεψομένῳ ἀξιώματι χαιρεῖν, ἔυχέσθαι τε σοι ἀγαθὰ πόλλα. Νεὸν ὄυκ ἔχω τι φερεῖν, εἰ μὴ τῶν ἀπαντῶν ὑγίειαν. Πολλάκις μὲν ἔθελον γράφειν σοὶ ἐπιθυμῶν τὴν Θείαν γραφὴν νέαν, καὶ παλαιάν διαθήκην πράσειν, νῦν ἐν ταυτῆ Βιβλιοθήκῃ δυεῖν ἔυρον, ὧν μῖα καλή! σὺν τοῖς παραγραφοῖς κάτω περὶ τῶν συμφεροντῶν, καὶ διαφεροντῶν τῇ ἐβραῖᾳ ἀλεθείᾳ, δοθήσεταί μοι τῷ ἀργυριῷ ἢ τῶν ἀλλῶν βιβλιῶν μεταλλάξει. ἀξιῶ ὀῦν σὲ ἀντιγράφειν μοι τὴν τιμὴν ποτὲ πριάμενον. τὸ λοιπὸν δὲ εἰ ἀρέσκεται ἄσπαζε τὸν

Ἰωσὴφ ἐκ τῆς Φεραρίας τὸν φίλον. ἐῤῥῶσο. τῷ ἔτει χιλιοστῷ ἑξακοσιοστῷ ἑξηκοστῷ τεσσαρῷ Βοηδρομιῶνος ἐννάτῃ ἐσταμένου.

26.

(Χάρτης μονόφυλλος, μήκ. 0.20, πλ. 0.132. Ἀπόκρισις εἰς τὸ ὑπ' ἀριθμ. 25 γράμμα).

Αμέμπτος ἦν ἡ σου σιγή, εἰ ἀπὸ τῆς τῶν διαφερόντων μαθημάτων μελετης ἐγίγνετο. πρέπει γὰρ μανθάνοντα σπουδάζειν. Πολλὴν δὲ χάριν σοι νῦν ἔχω ἐπὶ τῷ συνήσθηναί μοι τῆς παρούσης κοινοβιαρχίας, ἀρεσκούσης μοι μάλιστα, διὰ τὸ διατρίβειν ἐνταῦθα, οὗ τοὺς φίλους ἄν, εἰ οὕτως τύχοι, ὠφελήσαιμι. Περὶ μὲν οὖν τῶν ἀγιογράφων τοῦτο ἔχω λέγειν, ὅτι τὴν παλαιὰν διαθήκην ἐωνήθην προπέρυσι ἑξήκοντα δράχμας, τοῦτέστι πάυλους, καινὴν δὲ, ὡς δώδεκα, αμφοτεραν μέντοι περιδεδεμένην τε καὶ ἠμφιεσμένην χαριέντως. Σὺ δὲ οἶμαι ἐυτελεστέρως ἀυτόθι ὠνήσῃ, ἄλλως τε καὶ ὀύσαν ἐν ἡμετέρᾳ βιβλιοθήκῃ. Ιώσεφ ὁ σὸς φίλος ἠσθένησε σχέδον ἐξῆμαρ. νῦν δὲ ὑγιαίνει, καὶ προσαγορέυει σοι χαίρειν. Εῤῥῶσο.

27.

(Τέσσαρα χάρτινα φύλλα συναποτελοῦντα τὸ ἥμισυ τετραδίου, μήκ. 0.195, πλ. 0.134, ὧν γεγραμμένα τὰ δύο πρῶτα, τὰ δ' ἕτερα δύο παντελῶς ἄγραφα. Τὰ γεγραμμένα φέρουσι τὰς σελίδας 489—491 ἀπεσπασμένας ὡς φαίνεται ἐκ χειρογράφου ὀγκώδους. Ἐπὶ κεφαλῆς τοῦ πρώτου φύλλου: In Fridericum Gronovium. — Lib. 2. 26. Ἐπὶ τοῦ δευτέρου φύλλου: Lib. 2. 27. Αὐτόγραφον Λέοντος Ἀλλατίου. Δύο διάφορα ἐπιγράμματα εἰς Γρονόβιον, τὸ πρῶτον ἑλληνικόν, τὸ δ' ἕτερον λατινικόν. Ἐκδίδοται μόνον τὸ πρῶτον).

Μουσῶν ἄποινα, καὶ λυκηγενοῦς δόσεις
Ἵππου τε κρήνης νέκταρ, ἠδ' ἐυποίκιλα
Ἄνθη χαρίτων, ἄλλων τε περιωνύμων καλά,
Τὰ Στάτιος πρόσζευξε ὕμνοις παμμέτροις
Φωνᾶν ἐπήταις μοῦνον (ὁ γὰρ χρόνος μακρὸς
Γραφέων τ' ἄπειροι χεῖρες ἔτριψαν κακῶς)
Γρονώβιος δέλτοισι ἒυ ἠσκημέναις
Δαεὶς σάφ' ἐξέθηκεν ὀρθώσας βίβλον
Ὡς Πυθαγοριστὴν οὐδὲ λάθρα φᾶναι τινὰ
Ψυχὴν τὰ πρῶτα Στατίου πλανομένην
Γρονωβίου ἐς ἄψε' ἐμπεσεῖν φρένας
Πνοὴν τε κοινώσασαν, ἔνθεν ἀπλανῶς
Νοῦν Στατίου τόξευσαι ἐξηλλαγμένας
Ῥήσεις τ' ἐς ἀυτὰς, ἃς ἐκεῖνος πυκτίῳ
Ἐυτ' ἀν τὸ πριν χάραττεν ἐντίθει σαφῶς
Εἰ δ' οὐχὶ λῆρος ταῦτα καὶ πλατὺς γέλως,
Πάντως ἄρ' ἔσται μυριόψυχος γεγὼς
Καὶ γὰρ φράδαισιν ἐσμὸς μυρίος σοφῶν

Ἅτ' εἶπον, ἅτ' ἐξέδωκαν, ὀιδεν ἔμπεδα
Κείνων μενοινᾶς ἐξακριβώσας γραφῇ,
Ἐς νοῦν τε βάψας, ὅνπερ ἐξεμάξατο
Γρονώβιος. τάδε μέν τοι ἔασσ' ἄλογος λόγος.
Τὸ δ' οὖν ἀληθὲς πᾶν, ὄφρ' ἒυ ἐιδῇς, πίθος
Κακῶν δ' ἄγευστός ἐστιν ἐν ὀύδει Διὸς
Πλήρης ἐάων κείμενος Γρονώβιος
Θαυμαστὸν ἔνθεν ὀυδὲν, εἰ κεκασμένος
Ὄλβῳ τοσούτῳ, κ' ἐυθαλεῖ παγκαρπίᾳ
Καθ' ὑπερβολὴν πάντεσσι πορσύνων κυρεῖ
Ἃ πρῶτον ἐυτύχησον Αὐσόνων ὅσοι
Αὐτοί τ' Ἀχαιῶν πολυφράδμονες γόνοι
Σοφοί τε παρ' ἄλλοις δῶρα προσκυδέστατα.

Καὶ ταῦτα μέντοι ἐξεσχεδίαζεν τῷ λογιωτάτῳ, καὶ πολυμαθεστάτῳ Ἰωάννῃ Φριδερίκῳ τῷ Γρονωβίῳ φιλίας ἀιωνίου μνημόσυνον Λέων ὁ Ἀλλάτιος.

28.

(Χάρτης μονόφυλλος, μήκ. 0.273, πλ. 0.24. Αὐτόγραφον Λέοντος Ἀλλατίου).

Τῆς καρδίας ἄνοιξις ἐν τῇ τῆς Καγγελαρίας κλέισει δι' ὑποψίαν ὑγείας.

LEONIS ALLATII
IAMBUS

ex Italico Eminentissimi Domini
Francisci Cardinalis Barberini.

Εἰ καὶ διαστολαῖσιν ἀλλήλων, φίλε,
ξέναις ἀπειργόμεσθα, καὶ κεκλεισμένοις
τείχεσσιν, ὀυδὲ κᾂν σμικρὸν χαλᾷν στόμα
δρύφακτα συγχωροῦσιν, οὐχ ὃιον πέλει
ἄχθος τὶ οὐκ ἐυάγγαλον βαιὴ σχέδη,
πολλῶν λοετρῶν καὶ καθάρσεων ἐνδεὴς
καὶ βυρσοδεψῶν μυρίων τεχνασμάτων.
αὐτῇ δ' ἀπόχρη, εἴπερ ἐξ ἀμφοῖν μεροῖν
φλόγεσσι καπνωθεῖσα κηλέου πυρός,
βρεχθεῖσα τ' ὄξει, ὧδέ πως ἀρτυμμένη
ἔκδηλά σοι λέξησι τἀξειργασμένα.
λέγει δ' ἄρ' αυτὴ νῦν βιοῦν ἐυδαιμόνως
ἡμᾶς, θεοῦ διδόντος ἐυανθῆ τύχην.
οὐ τόσσον ἀστόι μειδιῶσιν ἐν βίου
πόντῳ γαληνοὶ ἔυφρονες Καναρίας,

ἢ ἀσφαλεῖς ἐπ' Ἄλπεσσι πηγωδεστέραις.
διεξίτωσαν ἱστόρων ἀνδρῶν λόγοι,
σὺν δ' ᾀδέτωσαν ἐυκελάδοις ὕμνων πτυχαῖς
οἱ μουσοποιόι. Φοῖβος οὔπω καλλίων
ἵππευσε τηλαυγέστερος βολαῖς φλέγων
οὐδ' ἦματ' ἧκον ὥστε νῦν ἀκηδέα,
παυθέντα μόχθων. ἆ πόσσον ἐκπρεπέστερα
τάδ' εἰσίν, οὐδὲ γὰρ ματᾷ τοὖπος τόδε.
ἔκνιξεν οὔ με τόσσον ἐυκλεὲς γάνος,
ὅτ' αἰνετοὺς ᾤκησα Κυρίνου λόφους,
οὐδ' ὅττε γοῦνυ χλωρὸν ἐξανδρόυμενον
ἥβῃ καλῇ πέπηγε φίλτατον νέοις.
θημῶν κακῶν ἀσπερχὲς, ἢ μεριμνέων
πέλαγος ἀνίασκον ἥσυχον κέαρ.
ἐμῆς δὲ κόιτης ὧδέ πως τετευγμένης,
ὁπηνίκ' οὐχ ἕυρισκε τὸν Καρδινάλιν,
ἐυθὺς παρ' ἡμᾶς ἆσσον εἰς μολῶν ἀνὴρ,
ἔφθασεν εἴσω οὐτίπω κεκλημένος,
τιμήν τ' ἄεξεν εἰσκυκλῶν γεράσμιον.
ἐνθένδ' ἑκὼν ἄκων τε βίβλους κατθέμην
χ' ὅττ' ἐν χέρεσσιν ἔκειτο πρὀυτημασμένον.
καὶ ταῦτα μ' ἠνάγκαζεν ἦθος ἀστυκόν,
τρόπος τε χρηστός· οὐδέ μην ἄλλως πάλιν,
ὅταν ἐφομαρτήσαντα τῷ κεκτημένῳ
χαλκοστόμου κώδωνος ἐξ ἄλλης στέγης
ἠχῇ βαρείᾳ νωθρὸν ἐκκαλεῖ λεών,
στίχους, ἐπιστήμας τ' ἀπεῤῥίπτουν μακράν,
ἐχθροί, φίλοι τε, καὶ παρακολουθοῦντες ἐμόι
ἐνοχλήσεως παρεῖχον ἄφθονον σποράν,
ἥτις γ' ἀπείρους καρδίῃ βλάστει μόγους.
αἵδ' ἡμέραι λοιπόν, αἷς γαληνίοις
χρῶμαι, λόγους ῥίψαιμι, ἐι θέλω λέγειν
ὅσσην φέρουσιν ἐυτυχῶς παγκληρίαν.
κεῖμαι, καθεύδω, σὺν δὲ τοῖσδ' ἐκμανθάνω
δέλτους παλαιῶν, καὶ ὅτι μοι φίλον ποιῶ. ~

29.
(1660).

(Χάρτης δίφυλλος, μήκ. 0.269, πλ. 0.193. Αὐτόγραφος ἐπιστολὴ Simonis Wangnereckii πρὸς Λέοντα Ἀλλάτιον, ἔχουσα ἐπὶ τοῦ δευτέρου φύλλου τὴν ἑξῆς ἐπιγραφήν: Reverendissimo,

perillustri et Eruditissimo Viro, Domino, Dom. Leoni Allatio suo. — Romae. Τὸ κείμενον κατέχει ἀμφοτέρας τὰς σελίδας μόνον τοῦ πρώτου φύλλου).

Χαῖρε φιλοφρονεστάτως, ἡ περιπόθητός μοι πρὸ πάντων, καὶ ἱερὰ κεφαλή! Λέων 'Αλλάτιε!

Τὴν κρυπτολογίαν σου, τὴν τῶν 'Ελλήνων, ἴσθι ὡς κάλλιστα νῦν ἐκδοθῆναι παρ' ἡμῖν, ἐν τῇ τοῦ Καίσαρος 'Ουιέννᾳ, δαπανήμασι τοῦ ἀρχιάτρου, τοῦ παμμεγίστου ἐν τῇ αὐλῇ ἡμῶν, καὶ πρὸς τά σου πάντα πονήματα ὑπεράγαν θαυμαστῶς τε καὶ περιποθήτως ἔχοντος· ὡς δηλοῖ παροῦσα ἡ εἰκών σου, διὰ τὸ αὐτοῦ φίλτατον πρός σε, παρ' ἡμῖν ἐν τῇ 'Ουιέννᾳ, τῷ χαλκῷ τῷ Κυπρίῳ ἐγκεχαραγμένη (τοῦ αὐτοτάτου ἐκείνου, ἀργύριον τὸ γιγνόμενον ἀποτίνοντος) καὶ τῇ σου τῶν 'Ελλήνων κρυπτολογίᾳ πάνεπιτηδειοτάτως προτετυπωσομένη.

Τὸ δὲ μεγάλον μου σύνταγ(μα) (οὗτινός σου τὸ πρόσθεν, δεινός τε καὶ μέγιστός μοι, ἡγεμών τε καὶ συλλήπτωρ ἔτυχες) περὶ τῶν τριῶν συζυγιῶν, τῶν τοῦ αὐτοῦ ὀνόματος 'Αναργύρων, μάλα πολὺ ἐμποδίζεται νῦν, διὰ τὸ ὑπεράγαν φίλαυτον, τῆς θαυμαστῆς ἐυσεβείας τῶν ἐν τῇ Μοναχίῳ· φοβοῦσι γὰρ οὗτοι (ὡς τ' ἀληθές ἐιπεῖν) οὐκ ἀφιλοδόξως, μὴ τοῖς ἄλλοις, τῶν 'Αράβων τὰ λείψανα οὐκ ἔχειν δοκῶσι ἐι τοῦτο τὸ πλῆθος τῶν τοῦ αὐτοῦ ὀνόματος 'Αναργύρων, ἀναμφισβητήτως δι' ἐμοῦ βεβαιωθὲν, εἰς τὴν τῶν πάντων γνῶσιν ἐκδοθέιη. μήτι οὖν, διὰ τὸ φιλαυτότιμον τῶν ἀνθρώπων τούτων, στερηθήσεται πᾶν τὸ ἀρχαιολογικὸν τῆς ἐκκλησίας, τοῦ ἱστορικοῦ τούτου φωτὸς, τοῦ παράπαν τονυνέχον λανθάνοντος καὶ ἀγνώστου; μήτι πρὸς τούτοις, διὰ τὴν ἀναίτιον ἀιτίαν ταύτην, ἁι περιφανέσταται τῶν πόλεων, ἀισχίστου ψεύδους καταγνωσθήσονται; ἐκτὸς γὰρ τῆς 'Ρώμης τῆς ὑμετέρας, καὶ ἄνευ τῶν Παρισίων τε καὶ τῶν 'Ενετιῶν, καὶ προσέτι ἡ τοῦ Καίσαρος ἡμῶν Οὐίεννα, κτήσει τῶν κεφαλῶν τοῦ Κοσμᾶ καὶ Δαμιανοῦ σεμνύνεται, ἐυσεβεστάτως τε καὶ μάλιστα πεποιθότως. δέομαί σου τοίνυν ἐγὼ, ὡς μάλιστα δυσωπῶν σε· πέμψον ἐμοὶ, ἐν βραχεῖ τῶ χρόνω, διατριβήν σου τινα μικρὰν, οὐ τῆς παρούσης τῶν 'Ελλήνων κρυπτολογίας σου μακροτέραν· ἐν ᾗ τοῦτο τὸ πλῆθος τῶν τοῦ αὐτοῦ ὀνόματος 'Αναργύρων, τῇ θαυμασίᾳ σου ἐν τοιοῖςδε τοῖς συγγράμμασι δεινότητι, ἀφοβήτως παντὶ τῷ κόσμῳ ἀποδείξης. ἡμεῖς δὲ ὡς τάχιστα, τόσου κᾀκεῖνο πονημάτιον ἐκδώσομεν, ἐυπορωτάτοις τοῦ αὐτοῦ ἀρχιάτρου τούτου δαπανήμασι, μάλιστα δι' αὐτὸ τοῦτο χαρησομένου, καὶ προσέτι μέλλοντος ὑπεραγάλλασθαί τε, καὶ πάνυ σε δεξιώσασθαι, πάσαις ταῖς φιλοφροσύναις· τοῦ γὰρ φθόνου τῆς συγγραφῆς τάυτης δυνατῶς ῥηγμένου, διὰ τῆς ἐξοχωτάτης τοῦ ὀνόματός σου αὐθεντίας, οὐ τοὐπιὸν ὅιός τε ἔσομαι κατηγορεῖσθαι, πρῶτος ἐκπειράσαι τοῦτο ἀποδεικνύναι· ἀλλὰ ἐυπορώτατόν μοι, ἔσται, προηγουμένῳ σοι ἀνεμποδίστως ἀκολουθεῖν, καὶ σύμψηφόν με ἀβασκάντως παρεστάναι.

Vale. Vir praestantissime. Pragae, in Bohemiâ. 11. Octob. ubi cum cæsareâ Maiestate, per sesqui ferè mense commoratus sum. At nunc, magnis itineribus, Viennā tendere incipimus: quò et Responsorias ad me tuas. dirigi oportet.

Eruditiss. Nobilis. Tuæ,
in Christo servus,
Simon Wangner-Eckius, S. J.

30.

1691, *Μηνὶ Φεβρουαρίῳ* 5.

(Χάρτης δίφυλλος, μήκους 0.30, πλάτους 0.207, ἔχων ἐπὶ τῆς πρώτης σελίδος τὸ κατωτέρω τῆς ἐν Πάτμῳ μονῆς ἔγγραφον. Ἄνωθεν τοῦ κειμένου σφραγὶς κηρίνη ἐπὶ χάρτου λευκοῦ. Ὅρα φωτοτυπικὸν πίνακα ς').

(Τ. Σ.)

+ 'Ημεῖς ὁ ἡγούμενος προηγούμενή τε καὶ μοναχοὶ και ὅλοι οἱ π(ατέ)ρες τοῦ μοναστηρίου τοῦ ἁγίου Ιωάννου τοῦ Εὐαγγελιστοῦ τῆς νήσου Πάτμου. εἰς τὸ 'Αρτζηπέλαγος. δίδομεν πίστην βεβαίαν. καὶ βεβαιώνομεν εἰς ὅλους τοὺς ἐμπϊστεμένους τοῦ Χριστοῦ τοῦ πϊητοῦ μας. πῶς ἀποστέλομεν τοῦ ηψηλοτάτου καὶ ἐκλαμπρωτάτου ημῶν αὐθεντὸς καπετὰν γενεράλε Ντωμένεγω Μουτζηνίγω. μισὴ βούκλα, ἀπὸ τὴν καδένα, μ(ὲ) τὴν ὁποίαν ἐξώσασι τὸν ῗδιον ἅγιον 'Ιωάννην εἰς τὸν καιρὸν τῆς ἁγίας του ἐ(ξο)ρίας. τὴν ὁποίαν τοῦ στέλνομεν δϊὰ σκέπος καὶ βοήθειαν αὐτοῦ. καὶ ἔστ(ω) δϊὰ διπλῆν βεβαίωσιν τῆς προσκυνήσεως καὶ στήμα ὁποῦ κάμνομ(εν) εἰς τὴν ἥδιαν. τοῦ παραδίδομεν τὴν παρόν φέδε καὶ ἐξομολόγησιν ἀπὸγραμένη ἀπὸ τὸν ηγούμενον καὶ προηγουμένους. καὶ βουλομένη με τὴν βούλα τοῦ μοναστηρίου μας. εἰς ἀσφάλειαν καὶ βεβαίωσιν πάντων :·

'Εκ Πάτμου ἀπὸ τὸ ἅγιον μοναστήρι τοῦ εὐαγγελιστοῦ Ιωάννου τοῦ Θεολόγου :·

'Ενέτι 1691 Φεβρουάρίου 5

εἰς τοπαλαιὸν :·

ὁ πρόειν εἰγούμενος Νικηφόρος ἱερομόναχος. μαρτηρῶ ὃς ἄνοθεν.
Γερμανὸς ϊερομόναχος καὶ προηγούμενος μαρτήρας ὃς ἄνοθεν.
+ 'Ο καθηγούμενος βασιλικῆς μονῆς Πάτμου Ἰάκωβος ἱερομόναχος.

31.

(Χάρτης μονόφυλλος μήκους 0.304, πλάτους 0.202, περιέχων ἐνσφράγιστον ἰταλικὴν μετάφρασιν τοῦ ὑπ' ἀριθ. 30 ἐγγράφου. 'Η σφραγὶς διαμέτρου 0.045, φέρουσα κύκλῳ τὰ γράμματα ταῦτα : IO. ANT. DE CAMILLIS. EPISCOPUS MILENSIS. ADMIN. APLI. SEDE INP.).

+

Traduttione dall' idioma greco.

Noi Abbate, e Predecessori, co monaci, co tutti li Padri del Monastero di S. Giovanni Evangelista dell' Isola di Patmos nell' Arcipelago facciamo fede à tutti i fedeli di Christo qualmente inviamo all' Illmo et Eccel^{mo} Sig. Cap. Gnle Dom(eni)co Mocenigo mezzo annello dalla cadena con la quale hanno cinto il med^{mo} s. Giovanni nel tempo della sua santa relegatione. il che gli mandiamo per sua protett^{ne} et aiuto. onde per la veneratione e stima che facciamo della detta cadena, rilasciamo la presenta fede, et attestato, sottoscritto dall' Abbate, e precessori Abbati, sigillato col sigillo del nostro Convento. Di Patmos dal santo Monasterio di S. Gio: Evangelista detto Teologo 1691. febraro 5. s. v.

Il già Abbate Niceforo sacerd^{e} monaco attesto ut supra.

Germano sacerd^{e} monaco, e già Abbate attesto quanto sopra.

L' Abbate del Regio Convento di Patmos Giacobo sacd^{e} monaco.

Gio: Antonio de Camillis per gra d' Idd^{o} e della santa sede apostolica Vescovo di Milo, et Argentae +

Facciamo fede haver tradotto il presente attestato dall' originale sottoscritto dall' Abbate, e da altri due suoi precessori del Convento di S. Gio: di Patmos, il carattere de' quali pienamente conosciamo, come pure il sigillo del detto Monastero. In fede di che +

Dato in Milo 17. Marzo 1691 s. v.

(T. Σ.) G. de Camilli vescovo di Milo +

ΤΕΣΣΑΡΑ ΠΡΩΤΟΤΥΠΑ ΕΛΛΗΝΙΚΑ ΓΡΑΜΜΑΤΑ

ΕΥΡΙΣΚΟΜΕΝΑ ΕΝ Τῌ ΑΥΤΟΚΡΑΤΟΡΙΚῌ ΔΗΜΟΣΙᾼ ΒΙΒΛΙΟΘΗΚῌ

ΠΕΤΡΟΥΠΟΛΕΩΣ.

1.

1671, *Μηνὶ Ἀπριλίῳ* 15.

(Χάρτης δίφυλλος, μήκ. 0.315, πλ. 0.23, οὗ ἡ πρώτη σελὶς ἔχει κείμενον ἑλληνικὸν μετὰ πέντε σφραγίδων καὶ ὀκτὼ ὑπογραφῶν, ἡ δὲ κατόπιν γαλλικὴν πρᾶξιν περὶ τῆς γνησιότητος τοῦ ἑλληνικοῦ κειμένου. Ἄνωθεν τοῦ ἑλληνικοῦ κειμένου εὑρίσκονται μέλανες τύποι τριῶν σφραγίδων, δύο δὲ ἕτεροι παραπλεύρως, πρὸς ἀριστερὰν τοῦ ἀναγινώσκοντος. Ἡ πρώτη τούτων ἔχει πέριξ τὴν ἐπιγραφήν: + ϹΦΡΑΓΙϹ TIS ΜΩΝΗϹ ΤΩΝ ΑΓΗΩΝ ΑΠΟΣΤΟΛΩΝ. Ἐντὸς δὲ τοῦ κύκλου τῶν γραμμάτων τούτων παρίσταται ὁ ἀπόστολος ΠΕ (= Πέτρος) καὶ ὁ ἀπόστολος ΠΑ (=Παῦλος), ἀμφότεροι ὄρθιοι καὶ ἐπὶ τῶν χειρῶν ὑψοῦντες ναὸν τρισυπόστατον καὶ πολυκάνδηλον· οὗ τὸ ὑποκάτω κενὸν πληροῦται δι' ἐστεμμένου δικεφάλου ἀετοῦ. — Ἡ δευτέρα σφραγὶς ὡς μὴ καλῶς ἀποτυπωθεῖσα μένει δυσδιάκριτος· ἡ τρίτη ἐπίσης ἀνεπιτυχῶς ἀποτυπωθεῖσα, ἐκ τῆς ἐπιγραφῆς ὅμως αὐτῆς διακρίνονται ταῦτα ΒΟΥΛΑ ΤΗ — — — — ΤΗ ΤΟΥ ΚȣΤΟΥΛΜȣϹΙΟΥ. Ἡ τετάρτη δυσδιάκριτος, σῴζουσα τὰ ἑξῆς γράμματα: — — — ΤΗϹ ΛΑΒΡΑϹ Τȣ ΑΓΙȣ ΑΘΑ[νασίου]. — Ἡ πέμπτη παριστᾷ τὴν κοίμησιν τῆς Θεοτόκου καὶ κύκλῳ ἔχει τὴν ἐπιγραφήν: + V ΚΟΙΜ[ησ]ΙϹ ΤΗΣ ΘΕΟΤΟΚȣ ΤΗϹ ΠΟΡΤΑΙΤΗϹΙϹ ΤΩΝ ΙΒΗΡΩΝ... ....ΟΡΟϹ. Σημειωτέον ἔτι, ὅτι ἐντὸς τοῦ διφύλλου τούτου εὑρίσκεται ἕτερος δίφυλλος χάρτης περιλαμβάνων γαλλικὴν τοῦ ἑλληνικοῦ κειμένου μετάφρασιν πρὸς χρῆσιν τοῦ γάλλου πρεσβευτοῦ Nointel. Ἐν τῇ μεταφράσει ταύτῃ προστίθεται, ὅτι ὁ Παρθένιος ἱερομόναχος εἶναι «religieux du monastere d' Eviron». Πρβλ. Perpétuité de la foi de l' Eglise Catholique sur l' Eucharistie. Paris 1841, τ. 3, σ. XLIX).

Ἡμεῖς οἱ κάτωθεν ὑπογεγραμμένοι πρωεστοὶ, καὶ πατέρες τοῦ Ἁγίου Ὄρους μαρτυροῦμεν καὶ βεβαιώννομεν ἐν φόβῳ θεοῦ, ὅτι ὁ καλόγερός μας ὀνόματι Ἀγάπιος ἤδη τεθνηκὸς, ἔζησεν εἰς τὸ Ἅγιον Ὄρος μὲ παράδειγμα, καὶ ἁγιωσύνην, ὡς καθῶς τὸ μαρτυροῦσιν ᾗ διατριβαῖς του καὶ κόποι του· μάλλιστα τὸ βιβλίον τὸ λεγόμενον *Ἁμαρτωλῶν Σωτηρία*: τὸ ὁποῖον ὡσὰν ὠρθόδωξος διδασκαλία φωτίζει καθε καλὸν χριστιανὸν πρὸς τὴν ὁδὸν τῆς σωτηρίας. καὶ διατὶ ἐναντιώννεται τῶν αἱρετικῶν Καλβινιστάδων: δίκτοντας τὰ ἑπτὰ μυστήρια τῆς πίστεώς μας κατὰ τὴν ὠρθόδωξον Ἀνατολικὴν Ἐκκλησίαν: ἐφεύρασι πῶς τέτοιον βιβλίον δὲν εἶναι τοῦ Ἀγαπίου μοναχοῦ: μὴν θέλοντας οἱ Καλβινιστᾶδες νὰ πιστεύψουσι περὶ τοῦ ἀχράντου μυστηρίου τῆς εὐχαριστίας; πῶς ὁ ἄρτος, καὶ ὁ οἶνος ἴστερα ἀπὸ τὸν ἁγιασμὸν τοῦ ἱερέως, δὲν εἶναι πλέον ἄρτος, καὶ οἶνος (ἀγκαλὰ καὶ φαίνεται κατὰ τὸ εἶδος) ἀμὴ εἶναι ὁ ἄρτος μεταλλαγμένος εἰς ἴδιον, καὶ ἀληθεινὸν σῶ-

μα τοῦ Χριστοῦ τοῦ ζῶντος: καὶ ὁ οἶνος εἰς ἴδιον, καὶ ἀληθινὸν αἷμα τοῦ Χριστοῦ τοῦ ζῶντος: ὡς καθῶς μὰς παραγγέλλει ἡ Ἀνατολικὴ Ἐκκλησία μας. τὸ λειπὸν διὰ βεβαίωσιν τῆς ἀληθείας μαρτυροῦμεν πῶς τέτοιον βιβλίον, καὶ ἄλλα πολλὰ ἐτυπώθησαν εἰς τὴν Βενετιὰν ἀπὸ τὸν ἴδιον Ἀγάπιον μοναχὸν τοῦ Ἁγίου Ὄρους: ἔτζι ἡμεῖς γνωρίζοντάς τον μὲ ὅρκον ὑπογράφομεν. ἐν Κωσταντίνουπόλει. ιε Απριλλίου ,αχοα.

∽ + Ἱερόθεος ἱερο(μόν)αχ(ος) ἐκ τῆς Λαύρας.

∽ + Γαβριὴλ ιερο(μόν)αχ(ος) τοῦ Καρακάλου.

∽ Σεργηος μωναχος.

∽ + ὁ Κύριλλος τῆς Μεγάλης Συνάξεως.

∽ Παρθένιος ἱερομόναχος.

∽ Φιλάρετος ἱερο(μόν)αχ(ος) Διόνησιάτης.

∽ + ο Αθανάσιος προηγούμενος Κουτουλμουσίου.

∽ + Κοσμᾶς. ιερο(μόν)αχος.

(Ὄπισθεν τοῦ πρώτου φύλλου πρᾶξις ἐνσφράγιστος ἔχουσα οὕτω):

Nous Charles François Olier Marquis de Nointel Conseiller du Roy en ses Conseiles, en sa Cour de parteman et son Ambassadeur aupres du Grand Seigneur Empereur des Turcs Certifions et attestons a touts qu' il appartiendra que nous estant informé de la verité du fait scavoir si Agapius avoit esté un religieux du Mont Athos, et s' il estoit veritable qu' il eut composé le livre Intitulé **Le Salut des pecheurs,** Touts ceux auxquels nous en avons parlé qui sont en grand nombre, Nous ont declaré qu' ils avoint cognu ce bon religieux, et qu' il estoit l' autheur du livre intitulé **Le Salut des pecheurs**, qui contient la Veritable doctrine de la presence reelle de Jesus Christ au saint sacrement, et de la trans Substantiation du pain et du vin en son corps, et en son sang, qui est celle de toutte l' Eglise d' Orient, C' est ce qui nous a esté confirmé par des Religieux qui cognoissoint Agapius, et lesquels comme luy ayant fait leurs veux dans la sainte Montagne, et se trouvant maintenant a Constantinople n' ont pas fait difficulté d' attester cette verité par leur signature, et leur bulle que l' ont peut voir et lire de l' autre part, En foy de quoy Nous avons signé les presentes, et fait Contresigner par Nostre premier secretaire, et a Scelles apposer le scel de Nos Armes. Fait aux Vignes de Pera les Constantinople dans le pa-

lais de france Le Onziesme Jour de May Mil six cent soixante et onze. 1.

(Ὑπογρ.) *Olier de Nointel*

(Τ. Σ.)

Par mondict Seigneur.

(Ὑπογρ.) *De Blois.*

2.

1671, *Μηνὶ Ὀκτωβρίῳ ἰνδ.* 10.

(Χάρτης μονόφυλλος μήκ. 0.413, πλάτ. 0.30. Πρωτότυπον πράξεως Χιακῆς συνόδου. Γαλλικὴ μετάφρασις ἐν τῇ Perpétuité de la foi de l' Eglise Catholique sur l' Eucharistie, ἐκδ. Migne, Paris 1841, τ. 2, σ. 1128—1129).

Ζητήσεως οὐ σμικρᾶς ἐπιγενομένης, περὶ τῆς τῶν χριστιανῶν ὑγιοῦς πίστεως. κάιτινων ἐπιβεβαιούντων, καὶ λεγόντων τὴν Ἀνατολικὴν Ἐκκλησίαν ἔχείν τινα δόξαν σκολιάν τε, καὶ οὐκ ὀρθὴν, καὶ φρονεῖν ἅπερ ἐκεῖνοι δοξάζουσι. πρὸς ἀναίρεσιν μὲν τάυτης, ἀναστύλωσιν δὲ τῆς ἀληθείας, ἐγράφησαν καὶ ταῦτα, ἀποΧίου, ἅπερ ὡς ὀρθὰ κατέχει αὕτη ἡ Ἀνατολικὴ Ἐκκλησία. διὰ γραφῆς, κὰι ἁγίων πατέρων ἐπιβεβαιούμενα: — κατὰ τὸ. ,α. χ. οα^ον. ἐν μηνὶ. Ὀκτ(ω)βρ(ίω). ἰν(δικτιῶν)ος ι^ης +

Α^ον Μετουσίωσιν τοῦ ἄρτου καὶ τοῦ ὀίνου εἰς σάρκα, καὶ αἷμα τοῦ Χ(ριστο)ῦ διὰ ἱερέως τοῖς κυριακοῖς λόγοις γίνεσθαι πιστεύομεν ∻

Β^ον Σὰρξ, καὶ αἷμα εἰσέρχεται εἰς τοὺς κοινωνοῦντας. ∻

Γ^ον Μετὰ τὸν ἁγιασμὸν μένει τὸ σῶμα, καὶ τὸ αἷμα ἐν τῇ ἁγίᾳ εὐχαριστία ∻

Δ^ον Ἡ ἁγία ἐυχαριστία προσφέρεται παρὰ τῶν ἱερέων διὰ ζῶντας, καὶ τεθνεῶτας ∻

Ε^ον Ἁρμόζει ἐις ἀυτὴν προσκύνησις λατρευτική. ∻

ς^ον Ἡ Ἐκκλησία κανονίζει νηστείας, όίας βούλεται. ∻

Ζ^ον Ἕνα μεσίτην τοῦ προπατορικοῦ ἁμαρτήματος, καὶ τῶν προσωπικῶν τὸν Χ(ριστὸ)ν λέγει. μετὰ δὲ τὴν ἀνάστασιν αὐτοῦ καὶ πάντας τοὺς ἁγίους εἰς τὰ χρειώδη ∻

Η^ον Κατ' ἄλλον τρόπον προσκυνεῖται ὁ θ(εὸ)ς, καὶ κατ' ἄλλον οἱ ἅγιοι, καὶ τὰ λείψανα ἀυτῶν. ὁ μὲν θ(εὸ)ς λατρευτικῶς, ἡ Παναγία ὑπερδουλικῶς, οἱ δὲ ἅγιοι δουλικῶς ∻

Θ^ον Σχετικὴν προσκύνησιν ἀπονέμει ταῖς εἰκόσιν ∻

Ι^ον Ἡ Ἐκκλησία ἔχει ἑπτὰ μυστήρια, τὸ βάπτισμα τὸ μύρον, τὴν ἁγίαν εὐχαριστίαν, τὴν μετάνοιαν, τὸ εὐχέλαιον, τὴν ἱερωσύνην, καὶ τὴν συζυγίαν ∻

ΙΑ^{ον} Οἱ ἱερεῖς παρὰ τῶν ἐπισκόπων χειροτονοῦνται, καὶ ἀναγκαίως δεῖ παρ' αὐτῶν διοικεῖσθαι τὴν Ἐκκλησίαν ~

ΙΒ^{ον} Ὠφέλιμος ἡ τῶν ἀγαθῶν ἐπισκόπων διοίκησις: ~

ΙΓ^{ον} Ἡ Ἐκκλησία κοινῶς ὀύποτε σφάλλει ~

ΙΔ^{ον} Ἡ Ἐκκλησία διχῶς ὁρατὴ, καὶ ἀόρατος, ἡ κάτω ὁρατὴ, καὶ ἡ ἄνω ἀόρατος ~

ΙΕ^{ον} Τὰ βιβλία τοῦ Τωβίτ, τῆς Ἰουδὴθ, τῆς Σοφίας, τοῦ Σειρὰχ, τοῦ Βαροὺχ, τῶν Μακαβαίων εἰσὶ μέρη τῆς Γραφῆς, καὶ ἀναγινώσκονται +

+ Ὁ πρὸέδρος Χίου Ἴγνάτιος +

+ Ὁ οἰκονόμος Χίου ἵερεὺς Στέφανος.
+ Ὁ σκευοφῦλαξ Χίου ἵερεὺς Ἀντώνιος.
+ Ὁ σακελίου Χίου ἵερεὺς Κωνσταντῖνος —
+ Ὁ ἐκκλησιάρχης Χίου ἵερεὺς Νῖκόλαος.
+ Ὁ ἵερομνήμων Χίου ἵερεὺς Μαρῖνος: - -
+ Ὁ ὑπομνηματογράφων Χῖου ἱερεὺς Ἰωάννης: —
+ Ὁ διδάσκαλος τοῦ Εὐαγγελίου Νικόλαος ἱερεὺς ~
+ Κλήμης ἱερομόναχος τῆς Ἀδελφότητος τῶν Ἁγίων Ἀναργύρων. ~
+ Παρθένιος ἵερομόναχος τῶν Ἁγίων Ἀποστόλων: ~
+ Ὁ πρωτονοτάριος Χίου, Μανουηλος Σάκης, βεβαιῶν ὑπέγραψα +
+ Ἱερομόναχος καὶ πρώην ἡγούμενος τῆς Νέας Μονῆς ÷
+ Ὁ χαρτοφῦλαξ Χιου ιερευς Γεώργιος.
+ Ὁ πρωτέκδικος Χίου ἵερεὺς Μιχαήλ
+ Ὁ ῥήτωρ Χίου ἱερεὺς Νικόλα —
+ Ὁ δηκαίοφήλξα (sic) Χηὸυ ηερες Μιχαλη
+ Ὁ λογοθέτης Χίου ἵερεὺς Φώτιος
+ Γαβριὴλ ἱερομόναχος καὶ διδάσκαλος τῆς Ἀδελφότητος τοῦ Ἁγίου Βίκτορος.

(Ὄπισθεν τοῦ αὐτοῦ φύλλου).

Nous Charles francois olier de Nointel Conseiller du Roy en ses Conseils, et son Ambassadeur en Levant certifions, et attestons que l'attestation escritte de l' autre part, Nous a esté mise entre les mains par Ignace Archevesque du Rite Grec, de l' isle de Chio, lequel nous a declaré de vive voix, qu' ayant donné son consentement avec son clergé a la verité, qui y est contenuë, et dont Nous desirions d' avoir l' esclaircissement, il a creu qu' il y alloit de la gloire de son Eglise de la souscrire, comme il a fait apres une conclusion prise avec ses principaux Ecclesiastiques, Lesquels au nombre de seize l' ont' confirmé par leurs

signatures, c' est ce que cet Evesque Nous a prié de certifier, et Nous le faisons dautant plus volontiers, que ce Prelat ayant toujours esté grand Ennemi du Rite des Romains, Jusqu' a venir la force a la main dans leurs Eglises pour les en despouiller, a son Oeconome qui a signé le premier apres luy, ayant poussé sa passion encore plus loing en divers rencontres, leur tesmoignage doit paroistre au dessus de toute collusion, c' est le Jugement que Nous en faisons, et que Nous rendons public par nostre signature, et le sceau de nos armes, ordonnants qu il sera contresigné par nostre pnemiere secretaire. Donné aux Vignes de Pera Les Constantinople au Palais de france Le quatriesme Jour de Juillet Mil six cent soixante douze. 1.

Olier De Nointel

(Τ. Σ.)

Chio.

Par Mondict Seigneur
De Blois

3.

1671, *Μηνὶ Ὀκτωβρίῳ* 14.

(Δίφυλλος χονδρὸς χάρτης μήκ. 0.45 πλ. 0.308, οὗ τρεῖς σελίδες περιλαμβάνουσι τὸ ἑλληνικὸν κείμενον, ἡ δὲ τετάρτη γαλλικὴν ἐνσφράγιστον ἐπικύρωσιν τοῦ πρωτοτύπου ἑλληνικοῦ κειμένου καὶ τῶν ὑπὸ τοῦτο ὑπογραφῶν. Σημειωτέον ὅμως ὅτι αἱ μετὰ τὸ ὄνομα τοῦ ἡγουμένου Μακαρίου ὑπογραφαί, πᾶσαι ἀνεξαιρέτως, εἶναι κεχαραγμέναι διὰ τῆς χειρὸς τοῦ Μακαρίου. Τὸ πρῶτον γράμμα τοῦ ἑλληνικοῦ κειμένου, τὸ Η, εἶναι μέγα κόκκινον καὶ περικεκοσμημένον δι' ἀνθέων, ἐφ' ὧν ὑψοῦται βασιλικὸν σταυροφόρον στέμμα. Γαλλικὴν τοῦ κειμένου μετάφρασιν ὅρα ἐν τῇ Perpétuité de la foi κτλ., ἐκδ. Migne, τ. 2, σ. 1113—1134. Αὐτόθι καὶ διήγησις τοῦ de Nointel περὶ τῆς μεταβάσεώς του εἰς τὴν μονὴν Μαυρομόλου, σ. 1129 κέ.).

Ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ Εκλησία· ἡ Ἀνατολικὴ ἐπιστηριγμέν(η) ἐν ταῖς εὐαγγελικαῖς ἱστορίαις καὶ ἀποστολικαῖς παραινέσεσι θύει διὰ τῆς θείας ἱερουργείας τα ἄχραντα καὶ σωτήρια μυστήρια, καὶ ἐπιτελεῖ την ἀναίμακτον μυσταγωγίαν εἰς ἀνάμνησιν τοῦ κυρίου ἡμῶν Ι(ησο)ῦ Χ(ριστο)ῦ τάυτην δε τὴν θείαν λατρείαν διὰ ἄρτου καὶ ὀίνου τελεῖσθαι· ἐδογμάτισεν καθᾶ καὶ αὐτὸς ὁ κύριος τοῖς ἁγίοις αὐτὸυ μαθηταῖς· καὶ ἀποστόλοις δεῖπνον μυστικὸν ποιήσας *λάβετε φάγετε τοῦτο ἐστι το σῶμα μου* λαβὼν τὸν ἄρτον· *καὶ πίετε ἐξ ἀυτοῦ πάντες τοῦτο ἐστι τὸ ἆιμα μου* λαβὼν το ποτηριον εἰρηκὼς ἐνετέιλατο. κατὰ τονἀυτὸν οὖν τρόπον καὶ ὁ ἱερεὺς τοὺς ἀυτοὺς λόγους ἐιπὼν ἐν τῇ ἱερα μυσταγωγία δέεται τὸν προτεθέντα ἄρτον καὶ ὄινον σῶμα καὶ ἆιμα Χ(ριστο)ῦ γένεσθαι καὶ τῇ ἐπικλήσει τοῦ ἁγίου καὶ τελετάρχικοῦ πνεύματος εὐλογήσας ἀμφώτερα ἐις σῶμα τέλειον καὶ τέλειον ἆιμα μεταποιεῖται ὀύτω μεν φρονεῖ ὁμολογεῖ καὶ πιστέυει· ἡ ἁγίανατολικὴ εκκλησία μηδὲν ἀποροῦσα ἡ ἀμφιβάλλουσα ἤ τὸν τρόπον ζητοῦσα τρόπος γὰρ

μόνη ἡ ἐπίκλησις τοῦ ἁγίου πνεύματος τοῦ ἐξ ὀυκ ὄντων ἐις το ἔιναι τὰ πάντα· παραγαγόντος· λύσις δε μιᾶς ἑκάστου ἀπορίας ἡ πιστης καὶ γὰρ ἡ πίστις ἀδιάκριτός· τις συγκατάθεσις τῶν ἀκουσθέντων ἐν πληροφορία τῆς ἀληθήας ἐστὶ καὶ λέγεται κατὰ τόν ὀυρανοφάντορα Βασίλειον ὁ γαρ πιστέυων ὀυ μόνοις τοῖς κειμένοις ἀισθητοῖς ἀλλά τὸις νοητοῖς ἐπιβλέπει καὶ ὥσπερ ἐπὶ του βαπτίσματος διὰ τοῦ ἀισθητοῦ ὕδατος τὴν ἀναγέννησιν καὶ ἀνακαίνισιν γίνεσθαι πιστεύομεν ὀύτω καὶ ἐπὶ τῆς ἱερᾶς τελέτῆς τὸν προτεθέντα καὶ ἁγιασθέντα ἄρτον καὶ ὄινον σῶμα καὶ ἆιμα Χ(ριστο)ύ τελἔισθαι πείθομεθα ταύτῆν δὲ τὴν θυσίαν διὰ ἄρτου ἐνζύμου ἀνελλιποῦς καὶ τελέιου· καὶ διὰ ὀίνου γίνεσθαι ὁι ἁγίοι πατέρες ἀπεφήναντο· ὥ'σπερ καὶ ὁ σαρκωθεὶς θεὸς τέλειος ὢν κατά τε τὴν θεότητα καὶ αν(θρωπ)ότητα ὁ γὰρ ἄρτος τὴν ὀικῆαν σάρκα τοῦ υἱοῦ τοῦ θέοῦ καὶ ὁ ὀινος τό ἆιμα ἀυτου ἀινίτεται καθὰ καὶ ἡ ἀυτωσοφια καὶ ἀλήθυα πρὸ τοῦ μυστικοῦ δέιπνου ἐν πολλαῖς ταῖς διηγησεσι περί ἀυτου ἔφη *ἐγω ἐιμι ὁ ἄρτος ὁ ἐκ τοῦ ὀυρανοῦ καταβὰς καὶ ζωὴν διδούς τω κόσμω* καὶ ἀλλαχοῦ *ἐάν τις φάγη ἐκ τούτου τοῦ ἄρτου ζήσεται εἰς τὸν ἀιῶνα*. καὶ πάλιν *ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱού τοῦ ἀνθρωπου, καὶ πίητε ἀυτου τὸ ἆιμα ουκ ἔχετε ζωὴν ἐν εαυτοῖς* ἆυθυς δὲ ἐσθίοντος. αὐτοῦ μετὰ τῶν ἱερῶν μαθητῶν ἄρτον ἀυτὸις καὶ ὀυκ ἄζυμα ἔκλασε ὡς οἱ εὐαγγελισταὶ ἐκκηρύτουσι *λαβὼν ὁ Ι(ησο)ύς τὸν ἄρτον*, φασὶ, *ἔκλασε καὶ ἐδίδου ἀυτοῖς καὶ ἔιπε λάβετε φάγετε τοῦτο ἔστι τὸ σωμα μου* ἀλα καὶ Ἰάκωβος ὁ αδελφόθεος ὁ καὶ πρῶτος ἱεράρχης Ἱεροσολύμων παρα του μεγάλου ἄρχιερέως Χ(ριστο)ύ χειροτονηθεὶς καὶ πρὸτος ἐπιδειξας ἡμῖν τὴν θεἰαν τάυτην μησταγωγίαν διὰ ἄρτου ἐνζύμου αὐτὴν ἐποίησε. καὶ περὶ Χ(ριστο)ύ διηγούμενος. ἔλεγε. *λαβὼν ἄρτον* ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων καὶ ἀμώμων· καὶ ἀθανάτων ἀυτοῦ χειρῶν, και ἐπομενως ὁι θεἰοι καὶ ἱέροι. διδάσκαλοι ὁι τῆς ἀληθείας κύρυκες καὶ ὑπέρμαχοι ὅ τε θἔι Βασίλειος καὶ ἱέρος Χρυσόστομος καὶ ὁι λοιποὶ τῆς τε Ἀνατολικῆς καὶ Δυτικῆς Ἐκκλησίας μέχρι Ἀλεξάνδρου πρώτου πάπα Ῥώμης διὰ ἄρτου ἐνζυμου ἱερούργουν· ἀπὸ δε τόυτου ἡ μεν Ρωμαϊκὴ Ἐκκλησία. διάζύμου μυσταγωγεῖν ἤρξατο· ἡ δὲ Ἀνατολοικὴ τῆς ἐνζύμου ουδέποτε παρετράπη. Ἰόυδᾶιοι γὰρ τὰ ἄζυμα ὡς καὶ τὴν περιτομὴν. καὶ τὰ τοῦ παλάιου νόμου λοιπὰ ἐτέλουν ἡμεῖς δὲ ὡς ουδεν τοῦ παλάιου νόμου πράττομεν· ἀλὰ τῆς Καινῆς Διαθήκις ἐκλογὴ ἐσμὲν ουδὲ τά ἄζυμα ποιητέον ἀι γὰρ σκυαὶ τοῦ νόμου ἐις ἀλήθειαν μετήχθησαν ὡς ὁ θεἰος Χρυσόστομος ἐκδιδάσκει λέγων· ἐκεῖ τουτέστιν ἐν τῶ παλάιω νόμω· το γράμμα· ὧδε τὸ πνεῦμα· ἐκεὶ καὶ ὁ ἀμνὸς ὧδε ὁ Χριστός ἐκει τα ἄζυμα· ὧδε ὁ ἄρτος· καὶ τέὡς ὡς οἱ ἀπόστολοι δἰ ἐνζύμου ἄρτου ὀύτω καὶ ἡ ὀικοδομουμένη ἐπὶ ταῖς αὐτῶν ὁμολογίαις Ἀνατολικεὶ Ἐκκλισία μηδὲν ἀπολυποῦσα τῆς ἀληθείας ἢ ὀρθῆς πίστεως ἐκτελεῖ μὲν καὶ δογματίζει.

Ευκοσμἔιται ἔτι ἡ ἁγία Ἀνατοληκὴ Ἐκκλησία καὶ διὰ τῶ ἁγίων εἰκόνων τοῦ κυρίου ἡμῶν Ἰῆσοῦ Χ(ριστο)ύ· τῆς θεομήτορος — παρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων ἀυτὰς δε προσκυνεῖν δὲ οὐ λατρευτῶς· ἀλλὰ σχετικῶς ἐντελλεται· ὀυ γὰρ θεὸς ἡ εικὼν ἢ παρθένος ἤ ἁγίοι ἀλλὰ πρωτότυπα καὶ ἀρχέτυπα τοῦ πάντων δημιούργου καὶ ἀυτῆς τῆς μητροπαρθένου· καὶ τῶν ἁγίων· προσκυνοῦντες δὲ ὀυ μικρὰς τὰς ἐυεργεσίας ἀπολαμβάνομεν ὁρῶντες γὰρ· ἐν ἐικόνι τὸν σταυρὸν· τοῦ Χ(ριστο)ύ καὶ τα ἄχραντα πάθη τῆς θείας ἀγάπης καὶ τοῦ περὶ ἡμῶν ὀίκτρου μνημονέυομεν ἀυτῶν ὀυν τῶν ἐικόνων πρῶτος ὁ θεἰος Λουκᾶς τόν τρόπον παρὲδωκεν· ἀλλὰ καὶ ἐποφειλόμενον σέβας· ἀὐτοῦ δίδοσθαι παρὰ τῶν ἁγίων ἐντέταλται πατέρων ἔυλογον γὰρ καὶ ἀιδέσιμον τὴν τòυτων προσκύνησιν ἔκριναν· διὸ εἰ καὶ ἀπίστως καὶ τυραννικῶς· τῆς ἁγίας, Ἐκκλησίας ἀποβάλλειν ποτέ τινες ἐπέιρασαν ἀλλὰ πάλιν των δεινῶν Εἰκονομάχων θέια δίκη ἀναιρεθέντων παρά της ἁγίας. ζ. συνόδου μετὰ προσηκούσης τιμῆς καὶ ἐυλαβείας ἀνἐκλήθησαν καὶ προσκυνεῖσθαι διετάχθησαν· περὶ τούτων τῶν ἁγίων· εἰκόνων· ἀλλὰ καὶ περὶ τῆς ἱέρᾶς μυσταγωγίας

Αγάπιος τῖς μοναχὸς ἐκ μὲν τῆς νήσου Κρήτης ὁρμώμενος έις δὲ το Ἅγιον Ὄρος τὸν βιὸν ἀσκητικῶς· καὶ θεαρέστως διατρὶψας βίβλους ὀυκ ὀλίγας μάλιστα δὲ τὴν ἐπικαλουμένην· *Ἀμαρτολῶν σωτηρίαν* ἔγραψέ τε καὶ ἐις κοίνην ὠφελέιαν ἐτύπωσε· ἐξ ἀυτῶν τά πλεῖστα καταλαβεῖν τῶν αναγινωσκόντων ἐκαστος ἔχει ἐπὶ τόυτου ἁς καὶ ἀυτὸς ἀυτὰς ἐκ πολλῶν παλαιῶν καὶ νέων διδασκάλων συνάξας πόνω καὶ μόχθω ἐις ἐυκαὶρίαν περιεποιήσατο καὶ ὡς ἀληθὴς τοῦ ἐυαγγελικοῦ λόγου διατηρήτης· καὶ περιποθητος τὸ τάλαντον ἐπολυπλασίασεν· καὶ τὸν βίον πὰυτα (= πάντα) ἁγίος· τοῖς ὁμοίοις ἐργοις διαπερασας· ἐν κυρίω ἀνεπαύσατο· εἰς ἔνδειξιν ἀσφαλη καὶ βεβαίαν ὁμολογίαν τῆς ἱερας τελετῆς τῆς προσηκουσης προσκυνήσεως τῶν ἁγίων ἐικόνων καὶ τῆς μοναδικῆς καὶ ασκητικῆς πολιτείας τοῦ ἀυτοῦ Ἀγαπίου το παρ (= παρὸν) γράμμα πᾶσι τοῖς χριστιἀνοῖς· καὶ μάλιστα τῶ τὴν ἀλήθειαν τῆς πίστεως τῆς Ανατολικῆς Ἐκκλησίας περὶ τούτων· τῶν κεφαλαίων· ζητήσαντι· ἐυγενεστάτω καὶ ἐξοχοτάτω· κυρίω Καρόλω Φραγκίσκο· Ολιεριω Ενιαρχίονι (=μαρκίωνι) Νοϊντελιων τοῦ τῆς Φράντζας δυνατοτάτου βασιλέως αξιωτάτω πρεσβεύτη δέδοται παρι ἡμῶν ὑπογεγραμμένων:

Εν τῷ ἡμετερω μωναστηρίω τοῦ Μαυρομόλου ἐν τη του Ὀκτοβρίου ιδ

Ἐνἔτει ἀπὸ Χριστοῦ αχοα +

+ Ο καθυγούμενος τῆς θέιας ἱ̈ερᾶς καὶ σταυροπὶγιἀκῆς μωνής τῆς ὑ̈περαγίας Θ(εοτό)κου του Μαυρου μόλου Μακάριος ἱ̈ερομῶναχος· καὶ ὁι σύνεμοι εν Χ(ριστ)ώ αδελφοι +

+ Κύριλος ἱἐρομῶναχος· καὶ σκευοφύλαξ, τῆς ἁγίας μωνῆς ταύτης +

+ Παρθενἶος ἱερομῶναχος· καὶ προτταίφυμέριος της αγίας μωνῆς τάυτῆς +

+ Καληνίκος ἵερομῶναχος τῆς ἁγίας μωνης τάυτης +

+ Δανἶἶλ ἱἐρομῶναχος· τῆς ἁγίας μωνῆς τάυτης +

+ Γερμανός ἱἐροδιακων τῆς ἁγίας μωνῆς ταύτης +

+ Καὶ πάνταις οἱ αδελφοὶ τῆς ἁγίας μωνῆς ταύτης ἔρρωσθεν : +

(Γαλλικὴ ἐπικύρωσις τοῦ αὐτοῦ ἐγγράφου).

Nous Soubsignés Certifions et Attestons a tous ceux qu' il appartiendra, que l' attestation qui est exprimée de l' autre part Nous a esté mise entre les mains par Macarius Superieur de l' abbaye Mauromole qui nous a asseuré de l' avoir escritte entierement, Et qui a recognu Sa Signature en nostre presence, pour l' avoir mise de son propre mouvement, et comme une preuve des verités que croit l' Eglise Grecque, Il nous a aussi declaré que pour les rendre plus Authentiques il avoit assembbé Ses Religieux, et qu' ayants touts affirmé qu' ils croyoent la presence reelle de Jesus Christ au Saint Sacrement, La Conversion du pain et du vin en son corps, et en son sang, L' Invoquation des Saints, Et qu' ils avoint cognu Agapius pour un pieux personnage, et pour estre l' autheur du livre Intitulé **Le Salut des pecheurs**, Il avoit escrit ensuitte de son nom ceux des Cinq principaux d' entre Euz, Et compris les autres en general, La coustume n' estant pas qu' ils signent, mais que l' abbé ayant signé declare que c' est leur sentiment, qu' il a trouvé que c' estoit l' ordre de sa maison d' en user ainsi, et qu' il a creu que ce n' estoit pas s' en esloigner que d' en nommer quelques uns en particulier. Nous Avons mesme Interrogé les Religieux y desnommés qui nous ont certifié touttes ces verités tant au fonds qu' en la forme, En foy de quoy Nous avons signé, et fait apposer le seel de nos Armes, et Contreseing de nostre premier Segretaire. Donné Aux Vignes de Pera Les Constantinople au Palais de france le Vingt sixiesme Jour d' Octobre Mil Six Cent Soixante Unze. 1.

(Ὑπογρ.) *Olier de Nointel* ambassadeur de sa maiesté a la porte.

(Τ. Σ.)

Par mondict Seigneur
(Ὑπογρ.) *De Blois*

4.

1691, *Μηνὶ Φεβρουαρίῳ.*

(Μονόφυλλος τουρκικὸς χάρτης, χονδρὸς καὶ λεῖος, μήκους 0.59, πλάτους 0.44. Ὄπισθεν ἔχει τὸ ἑξῆς· « + Τῷ μέγα σεβαστοκράτορι | βεζῆρι καὶ καθολικῷ τῆς | βασιλείας ἐπιτρόπῳ, | προσκυνητῶς ἐν|χειρισθῇ ». Ἄνωθεν τοῦ κειμένου τοῦ γράμματος ὑπάρχει σφραγὶς ἔντυπος διὰ μελάνης, διαμέτρου 0.40, ἧς τὸ μέσον κατέχει παράστασις εἰκόνος τῆς Ἁγίας Τριάδος, τὸ δὲ πέριξ ἡ ἐπιγραφή: + ΤΗϹ ΘΕΙΑϹ Π(ατ)ΡΙΑΡΧΙΚΗϹ ϹΤ(αυ)ΡΩΠΗΓΙΑΚΗϹ ΜΟΝΗϹ (τῆ)Ϲ ΠΑΝΤΥΡΓΥ ΤΡΙΑΔΟϹ ΕΝΗϹΩ ΧΑΛΚΗ. Τὸ πρῶτον τοῦ κειμένου στοιχεῖον, τὸ Τ, πολὺ μέγα, περικεκοσμημένον δι' ἀνθέων καὶ φέρον ἄνωθεν βασιλικὸν μετὰ σταυροῦ στέμμα).

Τῷ μέγα καὶ περιφανεῖ καὶ ἐκλαμπρωτάτῳ καὶ συνετωτάτῳ ἄρχοντι καὶ ἡγεμόνι τῶν ἡγεμόνων, καὶ πρώτῳ τῶν προκαθεζομένων μεγιστάνων, μεγίστῳ κνέζη καὶ σεβαστοκράτορι βεζῆρι τῆς κραταιᾶς καὶ ὑπερκειμένης ὀρθοδοξωτάτης βασιλείας Μοχοβίας καὶ καθολικῷ ἐπιτρόπῳ, κυρίῳ, κυρίῳ __________ τῷ καταπάντα προτεύοντι, οἱ ταπεινοὶ δοῦλλοι καὶ ἐυχαῖται αὐτῆς ἱερομόνάχοι τε καὶ μοναχοὶ οἱ τὴν ἱερᾶν ὀικοῦντες μονῆν τῆς παναγίας καὶ ζωαρχικῆς Τριάδος τῆς ἐν τῇ νῆσσω Χάλκης. δουλλικῆν καὶ ἐδαφιαίαν μετανοιαν καὶ προσκύνησιν ὀλωψυχως κωμίζομεν, δεόμενοι τῆς μακαρίας καὶ ζωοποιοῦ καὶ ἀδιερέτου Τριάδος τοῦ ἑνὸς τῇ φύσει μόνου θ(εο)ῦ, ἵνα στεραιοῖ καὶ διαφυλλάττοι τὴν ὑψηλλώτητά της, ἄνοσον, ἔυθυμον, ὑγιεῖ, εὐτυχεῖ, καὶ μακρόβιαν, καὶ πάσης ἐναντείας ἀνώτερον ἀμήν: ~

Γνωστὸν ἔστω τῷ κράτει τῆς θεοσεβείας σου αὐθέντα μέγα κνέζη καὶ ἐπίτροπε τῆς θεοσώστου βασιλεῖας Μοσχοβίας, κύριε ________ ὅτι τὸ σεβάσμιον ἡμῶν καὶ ἱερὸν τοῦτο μοναστύριον, ὅπερ κεῖται πλησίον Κωνσταντίνουπόλεως κατὰ τὴν Ἀνατολικῆν γῆν πλησιάζουσαν ἔν τινι νῆσσω ὀνομαζωμένη Χάλκη, ἀφῆς καὶ ἡ Χαλκηδόνα τὴν ἐπονυμίαν ἐκτήσατο. ἐπέχον δὲ ἀπὸ Κωνσταντινόυπολιν κατὰ ἔυρους ὥς μίλλια δεκαπέντε. ὑπήρχε δὲ πρώτερον στούδιον σοφίας καὶ μαθημάτων, οὐ μόνον μοναζόντων; ἀλλὰ καὶ βασιλέων καὶ ἀρχόντων. ἐν δὲ τοῖς καιροῖς ἐν οἷς ἐπολεμεῖτο ἡ Κωνσταντινούπολις, θ(εο)ῦ παραχωρήση ὑπὸ τῶν Ἀγαῤῥηνῶν. κατηδαφίσθη καὶ ἐρυμώθη ὑπ- ἀυτῶν, ὕστερον δὲ ἐν τοῖς καὶροῖς τῆς ἐπικρατέιας σουλτὰν Σουλειμάνη, ἀναικαινίσθη παρα Μητροφάνους π(ατ)ριάρχου Κωνσταντίνου πόλεως. καὶ πάλιν παρὰ Ἱερεμίου ἐκαλοπίσθη καὶ ἔιναι καὶ λέγεται πατριαρχικὸν σταυρωπίγειον μέχρι τὴν σήμερον . . . πλὴν ἀι τοῦ καιροῦ ἀνωμαλίαι, καὶ τὰ ἄπειρα βάρει τῶν ἐπικρατοῦντων Ἀγαρρηνῶν μάλιστα τὰ νῦν νέα φορτία καὶ κεφαλοχὰράτζια, καὶ ἡ νέα βοήθεια ἅτινα ἐρύφθησαν εἰς τὰ πτωχὰ μοναστύρια, ἐκλόνυσαν ἡμᾶς καὶ ἐβύθησαν ψυχηκῶς τε καὶ σωματικῶς. καὶ ἐχρειώθημεν ὑπὲρ τιμῆς τῶν τῆς πραγμάτων μονῆς, καὶ πολλοὶ τῶν πατέρων ἔφυγων, καὶ οἱ ἐναπολῃφθέντες οὐ μόνον τῆς ἐφ' ἡμέρου τροφῆς ὑστεροῦμεθα; ἀλλὰ καὶ πάνδεινα φυλακάς τε καὶ μάστιγας ὑποφέρομεν καθεκάστην ἐ-


πικαλοῦμενοι τὸν θάνατον ὡς εὐεργέτην. ὅθεν τὰ τοσαῦτα πάνδεινα θεορῶντες τινὲς τῶν φρονήμων ἐσυμβοῦλευσαν ἡμᾶς ὅπως καταφυγεῖν εἰς τὸ μέγα σκέπος τῆς θεοφιλάκτου ὑμῶν βασιλείας καὶ ἐτεῖν ἔλεος σωτηρίας. ὅθεν καὶ μὴν ἔχοντες ἄλην μετὰ θ(εὸ)ν ἐλπίδα. ἐσυμφωνήσαμεν ἅπαντες, ἐκλεξάμενοι τὸν πανὁσιώτατον ἐνιερομονάχοις καὶ ἀρχιμανδρίτην νέον, τὸν ἀγαπητὸν ἡμῶν ἀδελφὸν κύριον πα ___________ μετὰ τῆς συνωδίας αὐτοῦ ______ ἱερομονάχῳ. τῶ κελάρι. καιάγιω μοναχῶ ____________ καὶ ἱεροδιάκονι _________ καὶ ἐπέμψαμεν αὐτοῦς ἐν τῶ ἐλέει τῆς βασιλεῖας ὑμῶν, ἀφιερώνοντας ἐν αὐτῆ καὶ ὅλον τῶιερὸν ἡμῶν τοῦτο καὶ σεβάσμιον μοναστύριον τῆς παναγίας Τριάδος τῆ τοῦ Ἐσώπτρου, διὰ μέσον τῶν ἐπειφερόντων τὸ παρὸν ἡμῶν ἀδελφῶν. ⁝ διὸ παρακαλοῦμεν προσκυνητῶς καὶ γονυπετῶς, ὅπως δέξασθαι αὐτοῦς ἱλέως καὶ εὐμενῶς καὶ εὐπροαιρέτως, καὶ συνδράμητε καὶ βοηθήσαται ἐν λόγῳ, ἔργῳ, καὶ ἐλεημοσύνη εὐπροαιρέτῳ, καὶ παραστήσητε αὐτοῦς ἐνόποιον τῶν θειωτάτων βασιλέων, καὶ ὥσον ἐστὶ τῆς χριστομειμήτου σου ψυχῆς φιλαδελφία καὶ ἔλεος. συνδράμεται τὰ πρὸς βοήθειαν καὶ σύστασιν τοῦ πτωχοῦ μοναστυρίου συντείνοντα. καὶ τοῖς θεοστέπτοις ἄναξιν εἰς ἵκτον φιλανθρωπίας παρακινοῦντα. τὴν γὰρ ἀξίαν τῶν ἐλεοῦντων Δα(βί)δ ὁ προφητικώτατος κηρίττη μεγαλλωφῶνως λέγων, *δίκαιος ἀνῆρ ὁ οἰκτήρον καὶ κηχρῶν*, καὶ ὁ κ(ύριο)ς ἡμῶν Ι(ησοῦ)ς Χ(ριστὸ)ς διὰ τῶν καλῶς τὰ προσκαιρα οἰκονομοῦντων, ἀπειροπλασίους ἀμειβᾶς ἐν τῷ μέλλοντι ὑπεισχνῦται. *εὖ δοῦλε ἀγαθὲ* φησὶ, *καὶ πιστὲ, ἐπὶ ὀλίγα ἧς πιστὸς ἐπιπολλῶν σε καταστήσω*. Ταῦτα τῆ θεοσεβεστάτη σου ψυχῆ πρεσβεύωμεν, ὅπως καὶ τὸ παρὸν διασῶσηται σεβάσμιον μοναστύριον. καὶ τὰς ἐνταῦθα κινδυνευοῦσας ψυχὰς τῶν ἱκετῶν σας ἐλευθερώσηται διασωτηρίαν τῆς ψυχῆς σας, καὶ μνημώσυνον τῶν μακαρίων γονέων σας. Γράψαται δὲ καὶ τὰ τίμιά σας ὀνόματα νὰ μνημονεύωνται διὰ παντὸς. καὶ ἀξιώσαται διαχρυσσοβοῦλου καὶ βασιλεικοῦ ὑμῶν γράμματος, ταχύτερον ἐλθεῖν πρὸς ἡμᾶς, ὅπως καὶ ἡμεῖς τῶν δεινῶν ἐλευθερωθέντες. καὶ τύχωμεν ἄναισιν, καὶ χρεωστικῶς πρὸς θ(εὸ)ν τὰς δεήσεις ὑπὲρ ὑγίειας καὶ σωτηρίας ὑμῶν ἀναφέρομεν μέχρι παντῶς αἰώνως. αὐτὸς δὲ ὁ τρισυπόστατος κ(ύριο)ς καὶ μόνος θ(εὸ)ς ἀλιθεινὸς. ἀνταμείψοι ὑμῖν τὰς ἀμειβᾶς μυριοπλασίους. καὶ μετα βαθυτάτου γῆρους, καὶ πολλᾶς νίκας καὶ τρόπαια, ἀξιῶση ὑμᾶς καὶ τῆς οὐρανίου αὐτοῦ βασιλεῖας μετὰ πάντων τῶν δικαίων καὶ ἁγίων ἀμήν: — Ἐν μηνὶ Φευρουάριῳ, αχ<u>η</u>α +

∾ + Ο καθηγγούμενος τῆς ἱερᾶς π(ατ)ριαρχικῆς μονῆς τῆς παναγίας Τριάδος τῆς ἐν τῆ Χάλκη τῆ τοῦ Ἐσώπτρου, Διονύσιος ἱερομόναχος καὶ οἱ συνεμοῖ ἀδελφοὶ καὶ εὐχάιται αὐτῆς: +

ΠΙΝΑΞ ΟΝΟΜΑΤΩΝ

ΠΕΡΙΕΧΟΜΕΝΑ.

Σελ.


+ Ἰωακεὶμ ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτὴς τῆς οἰκουμένης: ὁ

+ Ἱερώτατε μητροπολῖτα [illegible] νήσου [illegible]
[illegible]
[illegible] Γνωστὸν ἔστω σοι ὅτι
τὴν τιμίαν σου γραφὴν ἐλάβομεν, καὶ ἐξ αὐτῆς ἀνεμάθομεν τὰ πάντα. [illegible]
[illegible] πατριαρχῶν τῆς ἀνατολῆς [illegible] τοῦ οἰκουμενι-
κοῦ πατριάρχου τῆς Κωνσταντινουπόλεως. ἐπειδὴ ἡμεῖς εἰς ταῦτα τὰ μέρη τῆς ἀνατολῆς,
ἄνδρες [illegible] διδάσκαλον [illegible] τῆς ἑλληνικῆς διαλέκτου καὶ γραμματικῆς ἐπιστή-
μης [illegible] ὁμοφώνως ἐγράψαμεν, ἵνα αὐτὸς
πρὸς ὑμᾶς πέμψῃ ἄνδρας σοφοὺς καὶ ἐπιστήμονας, καὶ τῆς ἑλληνικῆς σοφίας [illegible]
[illegible] ἡμεῖς [illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible] ἀμήν, ἀμήν. αὐγούστῳ [illegible] ἔτους:

